17 sq. καὶ τούτοισ Laur., edd. καὶ τὰ τούτοισ

τούτοισ παραπλήσια. τὰ δὲ τῶν νεοπλούτων ἐκεῖνα, πλάνῳ τινὶ τύχησ εἰσ πολυχρηματίαν περιηκόντων, οἳ τὸν ἀληθῆ καὶ βλέποντα πλοῦτον, ἐξ ἀρετῶν τελείων συνεστῶτα καὶ τῶν κατ' ἀρετὰσ πράξεων, οὐδ' ὄναρ ἴσασι, τῷ δὲ τυφλῷ προσέπταισαν, ἐφ' οὗ σκηριπτόμενοι, κατ' ἀναγκαῖον τὴν ἄγουσαν ὁδὸν οὐχ ὁρῶντεσ, εἰσ ἀνοδίασ ἐκτρέπονται, θαυμάζοντεσ τὰ μηδεμιᾶσ ἄξια σπουδῆσ καὶ τὰ φύσει τίμια γελῶντεσ, οἷσ ὁ ἱερὸσ λόγοσ ὅρκον ἐν οὐ δέοντι ποιουμένοισ οὐ μετρίωσ ἐπιτιμᾷ καὶ ὀνειδίζει· δυσκάθαρτοι γὰρ καὶ δυσίατοι, ὡσ μηδὲ παρὰ θεῷ τῷ τὴν φύσιν ἵλεῳ συγγνώμησ ἀξιοῦσθαι.

ΠΕΡΙ ΠΑΡΘΕΝΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ ΜΕΘ ΟΡΚΟΥ ΤΙ ΕΠΑΓΓΕΙΛΑΜΕΝΩΝ ΚΑΙ ΑΤΑΜΙΕΥΤΩΣ ΧΑΡΙΖΟΜΕΝΩΝ.

Παρθένων δὲ καὶ γυναικῶν τὸ περὶ τὰσ εὐχὰσ αὐτοκρατὲσ ἀφείλετο, τῶν μὲν τοὺσ πατέρασ κυρίουσ, τῶν δὲ γυναικῶν τοὺσ ἄνδρασ ἀποφήνασ εἴσ τε βεβαίωσιν τῶν ὅρκων καὶ λύσιν. καὶ μὴν εἰκότωσ· αἱ μὲν γὰρ παρθένοι δύναμιν ὅρκων οὐκ ἴσασιν, ὡσ χρῄζειν τῶν ἐπικρι-

---

1 sq. ἐκεῖνα, πλάνῳ τινὶ τυχῆσ etc. Pro his Laur. miro errore ἐκεῖνα· πλανῶνται εὐχῆσ εἰσ πολυχρ. περὶ οὐκ ὄντων

3 ἐξ iam Mang. ex Laur. pro ὑπὸ reposuit, item paullo post ἐφ' οὗ pro ἐφ' ᾧ

5 εἰσ ἀνοδίασ Laur. pro εἰσ ἀνοδίαν

6 ἄξια σπουδῆσ Laur. pro ἄξια τιμῆσ

7 ἐν οὐ δέοντι rectissime Laur. Edd. addunt καιρῷ

8 δυσκάθαρτοι iam Mang. ex Laur. pro δυσκατόρθωτοι

* Titulus in codice verbis τὰ μὲν δὴ τῶν εὐγενῶν (v. 17 pag. 8) appositus est, sed huc demum quadrat.

13 cf. Num. 30, 4 sqq.

13 αὐτοκρατὲσ ἀφείλετο: Laur. αὐτοκράτορεσ ἀφείλαντο et postea ἀποφήναντεσ.

15 εἴσ τε βεβαίωσιν τῶν ὅρκων: ita Laur. Edd. εἰσ (Mang. coniecit ὡσ) βεβαίωσιν ὅρκων. Post λύσιν vero quae edd. addita habent: τῆσ (Mang. proposuit τῶν) μὲν πατρὸσ, τῆσ (Mang. ut ante) δὲ ἀνδρὸσ εἶναι, ea Laur. recte omittit.

15 μὴν: male Laur. μήποτ'

16 Pro παρθένοι, quod Laur. praebet, edd. διὰ νεότητα. Ibidem τῶν ἐπικρινούντων: Laur. τὰ τῶν ἐπικριν.

νούντων· αἱ δὲ πολλάκισ ὑπ᾽ εὐχερείασ ὀμνύουσιν ἃ μὴ τοῖσ ἀνδράσι συνοίσει. διόπερ αὐτοῖσ ἀνέθηκε τὴν ἐξουσίαν τὰ ὀμοσθέντα φυλάττειν, ἢ τοὐναντίον. χῆραι δὲ μὴ ταχέωσ ὀμνύτωσαν, οὐ γὰρ ἔχουσι τοὺσ παραιτητάσ, οὔτε ἄνδρασ ὧν διεζεύχθησαν, οὔτε πατέρασ ἀφ᾽ ὧν μετανέστησαν ὅτε τὴν πρὸσ γάμον ἀποικίαν ἐστέλλοντο, ἐπειδὴ μένειν τοὺσ τούτων ὅρκουσ ἀναγκαῖον, ἐρημίᾳ τῶν κηδομένων βεβαιουμένουσ. ἐὰν δέ τισ ἐπιορκοῦντά τινα εἰδὼσ μὴ καταμηνύσῃ ἢ ἀπελέγξῃ, φιλίᾳ ἢ αἰδοῖ ἢ φόβῳ διδοὺσ πλέον ἢ εὐσεβείᾳ, τοῖσ αὐτοῖσ ἐπιτιμίοισ ἔνοχοσ ἔστω· διαφέρει γὰρ τοῦ ἀδικεῖν οὐδὲν τὸ συνεπιγράφεσθαι ἀδικοῦντι. αἱ δὲ κατ᾽ ἐπιόρκων δίκαι αἱ μὲν ἀνάκεινται τῷ θεῷ, αἱ δὲ ἀνθρώποισ. θεῷ μὲν αἱ ἀνωτάτω καὶ μέγισται· ἵλεωσ γὰρ οὐ γίνεται τοῖσ οὕτωσ ἀσεβοῦσιν, ἀλλὰ μένειν εἰσ αἰεὶ δυσκαθάρτουσ ἐᾷ, δικαίωσ οἶμαι καὶ προσηκόντωσ. ὁ γὰρ ἀμελὴσ τί δεινὸν εἰ ἀνταμεληθήσεται, οἷσ δίδωσι τὰ ἴσα καρπούμενοσ; αἱ δ᾽ ἀπ᾽ ἀνθρώπων διάφοροι, θάνατοσ ἢ πληγαί, τῶν μὲν ἀμεινόνων καὶ περιττῶν εἰσ εὐσέβειαν θανάτου δίκασ βεβαιούντων, τῶν δὲ μαλακώτερον χρωμένων ὀργαῖσ δημοσίᾳ μάστιγι τυπτόντων ἀναφανδὸν ἐν κοινῷ.

---

1 ὑπ᾽ εὐχερείασ Laur. pro ὑπὲρ εὐχ.

2 αὐτοῖσ: Laur. αὐταῖσ. Ibidem post ἐξουσίαν edd. addunt τοῦ, quod Laur. om. Ibidem ὀμοσθέντα edendum videbatur. Laur. ὀνομασθέντα, edd. νομισθέντα. Mang. ὁρισθέντα coniecit. φυλάττειν, quod sequitur, Laur. pro διαφυλάττ. praebet.

3 τοὐναντίον confirmat Laur. Edd. Richt. et Tauchn. τὸ ἐναντίον. Ibidem ταχέωσ Laur., edd. ῥᾳδίωσ. Infra οὔτε Laur. pro οὔτ᾽

5 τὴν πρὸσ: Laur. om. τὴν

6 ἐρημίᾳ: Laur. ἠρεμίᾳ

8 cf. Lev. 5, 1.

10 αἱ δὲ κατ᾽ ἐπιόρκ. δίκαι et τῷ θεῷ ex Laur. dedimus, edd. δίκαι δὲ κατ᾽ ἐπιόρκ. et θεῷ

12 ἀσεβοῦσιν Laur., edd. ἀσεβήσασιν. Quod praecedit ἀνωτάτω, iam Mang. ex Laur. pro ἀνώταται reposuit. Ibidem εἰσ αἰεὶ Laur., edd. ἀεὶ

15 διάφοροι scripsimus, ut iam Mang. scribi voluit, pro διαφθοραί. Laur. διαφοραὶ, suprascripto θ inter φ et ο ut fieret διαφθοραί. Ibidem τῶν μὲν ἀμεινόνων καὶ περιττῶν iam Mang. ex Laur. reposuit pro τούτων μὲν ἀμείνω καὶ περὶ τῶν

εἰσὶ δὲ καὶ πληγαὶ τοῖσ μὴ δουλοπρεπέσιν οὐκ ἔλαττον δίκησ θανάτου.

Ταῦτα μὲν οὖν αἱ ῥηταὶ προστάξεισ περιέχουσιν. ἔστι δὲ καὶ ἀλληγορῆσαι τὰ περὶ τὸν τόπον, ἔχοντα θεωρίαν κατὰ ἀναγωγὴν τὴν διὰ συμβόλων. εἰδέναι τοίνυν ἐχρῆν ὅτι ὁ τῆσ φύσεωσ ὀρθὸσ λόγοσ πατρὸσ ὁμοῦ καὶ ἀνδρὸσ ἔχει δύναμιν, ἐπὶ ἐννοίαισ διαφόροισ· ἀνδρὸσ μέν, ἐπειδὴ τὸν ἀρετῶν σπόρον ὥσπερ εἰσ ἀγαθὴν ἄρουραν τὴν ψυχὴν καταβάλλεται, πατρὸσ δ', ὅτι βουλὰσ ἀγαθὰσ καὶ πράξεισ καλὰσ καὶ σπουδαίασ γεννᾶν πέφυκε καὶ γεννήσασ ἐκτρέφει ποτίμοισ δόγμασιν, ἃ παιδεία καὶ σοφία χορηγοῦσι. διάνοια δ' ἀπεικάζεται ποτὲ μὲν παρθένῳ, ποτὲ δὲ γυναικί, ἢ χηρευούσῃ ἢ ἀνδρὶ ἔτι ἡρμοσμένῃ. παρθένῳ μὲν οὖν διάνοια ἁγνὴν καὶ ἀδιάφθορον διαφυλάττουσα ἑαυτὴν ἀπό τε ἡδονῶν καὶ ἐπιθυμιῶν, ἔτι δὲ λυπῶν καὶ φόβων, ἐπιβούλων παθῶν, ἧσ τὴν προστασίαν ὁ γενέτησ ἀνῆπται πατήρ· τῆσ δ' ὡσ γυναικὸσ ἀστείασ ἀστείῳ λόγῳ τῷ κατ' ἀρετὴν συμβιούσησ τὴν ἐπιμέλειαν ὁ αὐτὸσ λόγοσ οὗτοσ ἐπαγγέλλεται, σπείρων ἀνδρὸσ τρόπον ἐννοίασ

---

1 ἔλαττον confirmat Laur., nec mutandum videtur. Mang. ἐλάττουσ proposuit.

3 ἔστι δὲ καὶ Laur., edd. om. καὶ. Postea vitiosam scripturam περὶ τῶν τόπων ex Laur. emendavimus.

4 κατὰ ἀναγωγὴν ex Laur. addidimus; edd. om.

5 ἐχρῆν ὅτι ex Laur. est; edd. προσήκει tantum

6 ἐπὶ ἐννοίαισ Laur. pro ἐπινοίαισ

7 τὸν ἀρετῶν σπόρον adhibito Laur. correximus, in quo legitur τὸν ἀέρα τῶν σπόρον (sed mutatum est in σπόρων). Edd. τῶν ἀρετῶν σπόρον

9 ἐκτρέφει confirmat Laur. Mang. reponi volebat ἐκτρέφειν

10 ἃ παιδεία καὶ σοφία χορηγοῦσι. διάνοια δὲ ἀπεικάζεται: Laur. παιδεία καὶ σοφία χορηγοῦσαι διαδίδοται· ἃ δ' ἀπεικάζεται, quae corrupta esse apparet.

10 sq. ποτὲ μὲν et ποτὲ δὲ Laur. pro τότε μὲν et τότε δὲ

12 οὖν iam Mang. ex Laur. addidit. Ex eodem διάνοια et διαφυλάττουσα edidit pro διανοίασ et διαφυλαττούσησ

13 sq. ἐπιβούλων παθῶν ἧσ: pro his Laur. ἐπιβουλιῶν· παθῶν ὧν. Ibidem γενέτησ ex Laur. est pro γεννητὴσ

15 ἀστείασ: Laur. non habet

16 οὗτοσ: Laur. (sed habet οὕτωσ) post λόγοσ, edd. ante λόγοσ

ἀρίστασ. ἡ δ' ἂν ἀπορφανισθῇ ψυχὴ καὶ γενεᾶσ τῆσ κατὰ τὴν φρόνησιν καὶ ἐπιγαμίασ τῆσ κατὰ τὸν ὀρθὸν λόγον, χηρεύουσα τῶν καλλίστων καὶ ἔρημοσ οὖσα σοφίασ, ὑπαίτιον ἑλομένη ζωήν, ἔνοχοσ ἔστω οἷσ ἔγνω καθ' αὑτῆσ, ἰατρὸν ἁμαρτημάτων οὐκ ἔχουσα οὔθ' ὡσ ἄνδρα συμβιωτὴν οὔθ' ὡσ πατέρα γεννητὴν τὸν κατὰ σοφίαν λόγον.

ΠΕΡΙ ΤΩΝ ΕΑΥΤΟΥΣ ΑΝΑΘΕΝΤΩΝ.

Τῶν δὲ μὴ μόνον τὰσ οὐσίασ ἢ μέρη τούτων, ἀλλὰ καὶ ἑαυτοὺσ ἀνάθεμα ποιησαμένων ἐν εὐχαῖσ ὥρισε τιμάσ, οὐ πρὸσ κάλλοσ ἢ μέγεθοσ ἤ τι τῶν ὁμοιοτρόπων ἀπιδών, ἀλλὰ πρὸσ ἀριθμὸν ἴσον, διακρίνασ ἄνδρασ ἀπὸ μόνων γυναικῶν καὶ νηπίουσ τελείων. κελεύει γὰρ ἀπὸ μὲν εἰκοσαετίασ ἄχρισ ἑξηκονταετίασ ἀνδρὸσ εἶναι τιμὴν δραχμὰσ διακοσίασ νομίσματοσ ὁλαργύρου, γυναικὸσ δ' εἴκοσι πρὸσ ταῖσ ἑκατόν· ἀπὸ δὲ πενταετίασ ἄχρισ εἰκοσαετίασ τοῦ μὲν ἄρρενοσ π' δραχμάσ, τῆσ δὲ θηλείασ μ'· ἀπὸ δὲ βρέφουσ εἰσ πενταετίαν τοῦ μὲν ἄρρενοσ δραχμὰσ κ', τοῦ δὲ θήλεοσ ιβ'· τῶν δ' ὑπὲρ ξ' ἔτη βεβιωκότων, πρεσβυτῶν μὲν δραχμὰσ ξ', πρεσβυτίδων δὲ μ'. τὰ δ' ἴσα καὶ ἐπ' ἀρρένων καθ' ἡλικίαν ἑκάστην καὶ ἐπὶ θηλειῶν ὁμοίωσ διετάξατο, τριῶν ἕνεκα τῶν ἀναγκαιοτάτων. ἑνὸσ μέν, ὅτι ἴσόν ἐστι καὶ ὅμοιον τὸ

1 κατὰ τὴν φρόνησιν Laur., edd. om. τήν. Contra paullo post Laur. ὀρθὸν om.

3 οἷσ rectissime Laur. pro ἧσ. Ex eodem καθ' αὑτῆσ pro καθ' ἑαυτῆσ dedimus. Male vero pro οὔθ' bis οὐδ' habet.

8 sq. ἑαυτοὺσ et ἀνάθεμα Laur. pro αὐτοὺσ et ἀνάθημα

11 ἀπὸ μόνων ex Laur. pro αὐτὸ μόνον

11 cf. Lev. 27, 3 sqq.

12 μὲν om. Laur., postea πρὸσ τοῖσ pro πρ. ταῖσ habet.

14 π' δραχμάσ: ita Laur. Iam Mang. ex Laur. adsumpsit δραχμὰσ, sed scripsit δραχμ. ὀγδοήκοντα. Quae paullo post sequuntur, μ', κ', ιβ', ξ', ξ', μ', ea omnia Laur. praebet pro τεσσαράκοντα, εἴκοσι, δώδεκα, ἑξήκοντα bis, τεσσαράκοντα.

16 sq. δραχμὰσ post ἄρρενοσ et post πρεσβυτ. μὲν ex Laur. est (prius iam Mang. recepit, alterum ignorabat).

17 ἐπ' ἀρρένων Laur., edd. ἐπὶ ἀρρ.

18 διετάξατο ex Laur. pro διέταξε

ἀξίωμα τῆσ εὐχῆσ, ἐάν τε καὶ ὑπὸ μεγάλου τινόσ, ἐάν τε καὶ ὑπὸ εὐτελοῦσ γένηται. δεύτερον δ' ὅτι τοὺσ εὐξαμένουσ ἁρμόττον οὐκ ἦν ταῖσ τῶν ἀνδραπόδων ὑποβάλλεσθαι τύχαισ· ἐκεῖνα γὰρ πρὸσ τὰσ τῶν σωμάτων εὐεξίασ καὶ εὐμορφίασ ἢ τοὐναντίον ἐπευωνίζεται. τρίτον δ' ἔτι καὶ ἀναγκαιότατον, ὅτι παρὰ μὲν ἡμῖν ἀνισότησ, ἰσότησ δὲ παρὰ θεῷ τίμιον.

ΠΕΡΙ ΚΤΗΝΩΝ ΑΦΟΡΙΣΘΕΝΤΩΝ ΘΕΩ.

Ταῦτα μὲν ἐπ' ἀνθρώπων· ἐπὶ δὲ κτηνῶν ταῦτα νενομοθέτηται. ἐάν τισ ἀφορίσῃ κτῆνοσ, εἰ μὲν εἴη καθαρὸν ἔκ τινοσ γένουσ τῶν τριῶν ἅπερ εἰσ θυσίαν ἀπενεμήθη, βοῦσ ἢ πρόβατον ἢ αἴξ, ἐκεῖνο καταθυέτω μὴ ὑπαλλαττόμενοσ, μήτε χεῖρον κρείττονοσ μήτ' ἄμεινον χείρονοσ· οὐ γὰρ πολυσαρκίᾳ καὶ πιότητι ζώων χαίρει θεόσ, ἀλλ' ἀνυπαιτίῳ τοῦ εὐξαμένου διαθέσει. ἐὰν δὲ ὑπαλλάττηται, δύο ἀνθ' ἑνὸσ καθιερούτω, τό τε ἀρχαῖον καὶ τὸ ἀντ' ἐκείνου. ἐὰν δέ τισ εὔξηταί τι τῶν μὴ καθαρῶν κτηνῶν, ἀγέτω πρὸσ τὸν δοκιμώτατον τῶν ἱερέων, ὁ δὲ τιμάσθω μὴ ὑπερβάλλων τὴν ἀξίαν, προσεπιθεὶσ καὶ τῆσ τιμῆσ τὸ πέμπτον, ἵν', εἰ δέοι καθαρὸν ἀντὶ τούτου ζῶον ἱερουργεῖν, μηδὲν ὑστερίζοι τῆσ ἀξίασ τιμῆσ, καὶ ἄλλωσ ὑπὲρ τοῦ δυσωπῆσαι εὐξάμενον,

---

1 ἐάν τε καὶ priore loco: καὶ ex Laur. addidimus. Idem vero pro ἐάν τε καὶ ὑπὸ altero loco ἢ τὸ δοκεῖν praebet.

2 γένηται Laur. pro γίνηται. Item ex Laur. scripsimus δεύτερον δ' et τρίτον δ' ἔτι καὶ ἀναγκαιότατον pro δευτέρου δ' et τρίτου δ', ὃ καὶ ἀναγκαιότατον. Ibidem τοὺσ ante εὐξαμένουσ om. Laur.

4 ἐπευωνίζεται ex Laur. pro προσεπευωνίζονται

9 ἐπ' ἀνθρώπων iam Mang. ex Laur. pro περὶ ἀνθρ. edidit. Ibidem ipsi νενομοθέτηται ex Laur. hausimus pro νομοθετεῖται.

9 sqq. cf. Lev. 27, 9 sqq.

12 μήτε χεῖρον: Laur. μὴ τὸ χεῖρον

13 ζώων: Laur. om. Ibidem vero θεὸσ Laur. pro ὁ θεόσ

15 εὔξηται iam Mang. ex Laur. pro εὕρηται

17 καὶ τῆσ τιμῆσ τὸ Laur. pro τῆσ τιμῆσ καὶ τὸ

18 ἀντὶ τούτου ζῶον iam Mang. ex Laur. pro ἀντὶ ζώου. Ibidem ὑστερίζοι Laur. pro ὑστερίζῃ

ὅτι τὴν εὐχὴν ἐποιήσατο οὐ συλλογισμῷ, τὸ μὴ καθαρὸν ζῶον, ὥσ γ' οἶμαι, τότε νομίσασ εἶναι καθαρόν, πλάνῳ διανοίασ κεκρατημένησ ὑπὸ πάθουσ.

ΠΕΡΙ ΟΙΚΙΑΣ ΑΝΑΤΕΘΕΙΣΗΣ.

Οἰκία δ' εἰ γένοιτο ἀνάθημα, πάλιν ἐχέτω τιμητὴν ἱερέα. οἱ δ' ὠνούμενοι μὴ τὰ ἴσα κατατιθέσθωσαν. ἀλλ' εἰ μὲν ὁ εὐξάμενοσ ἀνακομίζεσθαι προέλοιτο, ἐπιδαψιλευέσθω τὸ πέμπτον, κολάζον τὴν εὐχέρειαν καὶ ἐπιθυμίαν, διττὸν κακόν, ἐν οἷσ μὲν ηὔχετο τὴν εὐχέρειαν, ἐν οἷσ δ' ἐφίεται ὧν πρότερον ἐξέστη τὴν ἐπιθυμίαν· εἰ δ' ἕτεροσ, μηδὲν πλεῖον τῆσ ἀξίασ κατατιθέσθω. ὁ δ' εὐξάμενοσ μὴ μακροὺσ ἐμποιείτω χρόνουσ πρὸσ τὴν ὧν ηὔξατο τελείωσιν ἢ τίμησιν· ἄτοπον γὰρ τὰσ μὲν πρὸσ ἀνθρώπουσ ὁμολογίασ ἐπιτέμνειν πειρᾶσθαι, τὰσ δὲ πρὸσ θεὸν τὸν ἀνεπιδεᾶ καὶ οὐδενὸσ χρῄζοντα ἐκπροθέσμουσ ἀποφαίνειν, μελλήσει καὶ βραδυτῆτι διελέγχοντασ αὑτοὺσ ἐπὶ τῷ μεγίστῳ τῶν ἀδικημάτων, ὀλιγωρίᾳ τῇ πρὸσ αὐτόν, οὗ τὴν θεραπείαν ἀρχὴν καὶ τέλοσ εὐδαιμονίασ εἶναι νομιστέον. ὅρκων μὲν δὴ πέρι καὶ εὐχῶν ἅλισ.

---

1 ὥσ γ': Laur. ὡσ τ'. Quae vero sequuntur, τότε νομίσασ εἶναι καθαρόν, ex Laur. dedimus pro τοῦτο νομίσασ εἶναι

2 κεκρατημένησ Laur. pro κεκρατημένοσ

6 ἀνάθημα Laur. pro ἀνάθεμα

7 κατατιθέσθωσαν Laur. pro κατατιθέτωσαν

8 sq. κολάζον et διττὸν κακόν: ita Laur. pro κολάζων et διττῶν κακῶν. Sed iam Mangey: „scribe omnino διττὸν κακόν".

10 εἰ δ': Laur. εἴ θ'

11 πλεῖον: ita Laur. pro πλέον

12 ἐμποιείτω: Laur. ποιείτω. Idem paullo post om. ἢ τελείωσιν, quod an ipse Philo addiderit dubitari potest.

14 χρῄζοντα Laur. pro χρεῖον

17 εὐδαιμονίασ: Laur. om. vix recte.

ΠΕΡΙ ΕΒΔΟΜΗΣ.

Ἑξῆσ δ' ἐστὶ κεφάλαιον τὸ περὶ τῆσ ἱερᾶσ ἑβδόμησ, ᾧ μυρία καὶ ἀναγκαῖα ἐμφέρεται εἴδη τῶν ἑορτῶν, αἱ τῶν φύσει μὲν ἐλευθέρων, διὰ δὲ καιροὺσ ἀβουλήτουσ θητευόντων καθ' ἕβδομον ἐνιαυτὸν ἀφέσεισ, αἱ πρὸσ χρεώστασ τῶν συμβαλλόντων φιλανθρωπίαι τὰ δάνεια ἑβδόμῳ ἔτει τοῖσ ὁμοφύλοισ χαριζομένων, αἱ ἀνάπαυλαι τῆσ βαθυγείου πεδιάδοσ τε καὶ ὀρεινῆσ, αἳ γίνονται παρὰ ἑξαετίαν, τὰ περὶ τοῦ πεντηκοστοῦ ἔτουσ νομοθετηθέντα. ὧν καὶ ἡ ἄνευ κόπου ψιλὴ διήγησισ ἱκανὴ τοὺσ μὲν εὐφυεῖσ τελειῶσαι πρὸσ ἀρετήν, τοὺσ δ' ἀφηνιαστὰσ καὶ σκληροὺσ τὸ ἦθοσ εὐπειθεστέρουσ ἀπεργάσασθαι. τὰ μὲν οὖν περὶ τῆσ ἐν ἀριθμοῖσ ἑβδόμησ εἴρηται διὰ μακροτέρων πρότερον ἥν τε ἔχει φύσιν ἐν δεκάδι, καὶ ἣν συγγένειαν πρόσ τε αὐτὴν δεκάδα καὶ πρὸσ τετράδα τὴν δεκάδοσ ἀρχήν τε καὶ πηγήν, καὶ ὡσ συντεθεῖσα μὲν ἀπὸ μονάδοσ ἑξῆσ γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον ἀριθμόν, τοῖσ αὐτοῦ μέρεσιν ἶσον, εἰσ ἀναλογίαν ἀχθεῖσα κύβον ὁμοῦ καὶ τετράγωνον ἀποτελεῖ, καὶ ὡσ μυρία ἄλλα κάλλη θεωρημάτων ἐξ αὐτῆσ ἐπιδείκνυται, περὶ ὧν οὐ καιρὸσ μακρηγορεῖν. ἕκαστον δὲ τῶν προκειμένων καὶ ἐμφερομένων εἰδῶν ἐπισκεπτέον, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν ποιησαμένουσ. ἦν δὲ πρῶτον τὸ περὶ ἑορτῶν.

---

* Titulum hunc etiam Hoeschelius habet, sed post περι add. τησ.

1 δ' om. Laur. Ibidem ἑβδόμησ ex Laur. est; cod. Hoesch. ἑβδομάδοσ

2 εἴδη: Laur. τὰ εἴδη. Idem v. 3 ἐνιαυτῶν

5 τῆσ βαθυγείου: Laur. τοῦ βαθ.

6 παρὰ Laur., Hoesch. παρ'. Pro πεντηκοστοῦ Laur. ἑξηκοστοῦ

7 ἡ (Laur. om.) ἄνευ κόπου: sic ex Laur. scripsimus, Hoesch. ἡ ἄνευ σκόπου

8 sq. πρὸσ ἀρετήν, ut pro ἀρετὴν iam Hoesch. in notis legi voluit, confirmat Laur., item ἀπεργάσασθαι pro ἀπεργάζεσθαι, quod rursus Hoesch. in notis ex „codice Boico“ attulit. Utrumque etiam Mang. ex cod. Vat. recepit. Ibidem τοὺσ δ' Laur., Hoesch. τοὺσ δὲ

10 ἥν τε: Laur. γὰρ addit.

13 τοῖσ αὐτοῦ Laur. Inepte Hoesch. τοῖσ αὐτοῖσ

18 τὸ περὶ, quod Mang. ex Vat. pro περὶ reposuit, confirmat Laur., sed non addit τῶν, quod edd. habent.

ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΕΟΡΤΩΝ.

Εἰσὶ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃσ ἀναγράφει ὁ νόμοσ. πρώτη μέν, ἣν ἀκούσασ θαυμάσαι τισ ἂν ἴσωσ· αὕτη δ' ἐστὶν ἡμέρα πᾶσα. δευτέρα δὲ ἡ δι' ς' ἡμερῶν ἑβδόμη· σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι. τρίτη δ' ἡ μετὰ σύνοδον τὴν κατά τινα σελήνην νέαν νουμηνία. τετάρτη δ' ἡ τῶν διαβατηρίων, ἣ καλεῖται πάσχα. πέμπτη δ' ἡ τῶν ἀσταχύων ἀπαρχή, τὸ ἱερὸν δράγμα. ἕκτη δ' ἄζυμα, μεθ' ἣν ἡ τῶν ἑβδομάδων ὄντωσ ἑβδόμη. ὀγδόη δ' ἱερομηνία. ἐννάτη δὲ νηστεία. δεκάτη δὲ ἡ τῶν σκηνῶν, ἥτισ ἐστὶ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰσ τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα. ἀρκτέον δὲ ἀπὸ τῆσ πρώτησ.

ΠΡΩΤΗΝ ΕΟΡΤΗΝ ΑΝΑΓΡΑΦΕΙ ΠΑΣΑΝ ΗΜΕΡΑΝ.

Ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμοσ, πρὸσ τὸν ἀνεπίληπτον βίον ἁρμοζόμενοσ, ὡσ τῶν ἀνθρώπων ἑπομένων τῇ φύσει καὶ τοῖσ ταύτησ διατάγμασι. καὶ εἴγε μὴ παρευημέρησαν αἱ κακίαι καταδυναστεύσασαι καὶ τοὺσ περὶ τῶν συμφερόντων λογισμοὺσ τῆσ ἑκάστων

---

* περι των δεκα εορτων ex Laur. scripsimus pro περὶ τῶν ἑορτῶν, ὡσ εἰσὶ τὸν ἀριθμὸν δέκα ut Hoesch.

2 θαυμάσαι: Laur. θαυμάσοι, unde θαυμάζοι possit reponi.

3 ἡ δι' ς'. Eadem scriptura infra ineunte περὶ σαββάτου capite. Ibi codex ἤδη· ς', hoc vero loco ἤδη κ. Hoesch. Mang. Richt. ed. Tauchn. ἡ ἕξ, sed iam Mang. vidit quid substituendum esset.

4 δ' ἡ μετὰ: Laur. corrupte δ' ἡμέρα. Idem paullo post καὶ νέαν, unde καινὴν effici potest. νουμ- Laur. pro νεομ-, confirmat vero et ipse -μηνίαν, quod correximus -μηνία reposito.

5 τετάρτη δ' ἡ Laur. pro τετάρτη δὲ

7 ἡ τῶν ἑβδομάδ. Laur. pro ἡ τῆσ τῶν ἑβδ.

8 ἥτισ ἐστὶ τῶν Laur. pro ἥτισ ἐστὶ ἡ τῶν. Sequitur in Laur. δημοσίων pro ἐτησίων, in eodem ἀριθμὸν omittitur.

* Inscriptionem ex Laur. sumpsimus. Inrepsit vero in ipsum textum ante ἀρκτέον, et pro ἀναγράφει tantum ἀνὰ scriptum est.

15 sqq. hunc locum ope codicis Laurentiani restituimus. Praeeunte Hoeschelio edd. ita: αἱ κακίαι, καταδυναστεύσασαι τοὺσ πε. τ. συμφ. λογισμοὺσ οὓσ τῆσ etc. Tamen non post ἔμειναν cum Laur. ἂν addidimus, nec μία

ψυχῆσ ἐξῴκισαν, ἀλλ' ἔμειναν αἱ τῶν ἀρετῶν δυνάμεισ εἰσ ἅπαν ἀήττητοι, μία ἂν ἦν ἀπὸ γενέσεωσ ἄχρι τέλουσ χρόνου ἀδιάστατοσ ἑορτή, καὶ αἵ τ' οἰκίαι καὶ αἱ πόλεισ ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ μεσταὶ πάντων ἂν ἦσαν ἀγαθῶν, εὐδίαν ἄγουσαι πραγμάτων. νυνὶ δ' αἱ πλεονεξίαι καὶ ἀντεπιθέσεισ, ἃσ ἄνδρεσ ὁμοῦ καὶ γυναῖκεσ μηχανῶνται καθ' ἑαυτῶν καὶ κατ' ἀλλήλων, τὸ συνεχὲσ τῆσ ἱλαρᾶσ διέκοψαν εὐθυμίασ. ἐμφανὴσ δὲ τοῦ λεγομένου ἡ πίστισ. ὅσοι γὰρ ἢ παρ' Ἕλλησιν ἢ παρὰ βαρβάροισ ἀσκηταὶ σοφίασ εἰσίν, ἀνεπιλήπτωσ καὶ ἀνυπαιτίωσ ζῶντεσ, μήτ' ἀδικεῖν μήτ' ἀντιδικεῖν αἱρούμενοι, τὰσ τῶν φιλοπραγμόνων ὁμιλίασ ἐκτρεπόμενοι καὶ τὰ χωρία ἐν οἷσ ποιοῦνται τὰσ διατριβὰσ προβέβληνται, δικαστήρια καὶ βουλευτήρια καὶ ἀγορὰσ καὶ ἐκκλησίασ καὶ συνόλωσ ὅπου τισ τῶν εἰκαιοτέρων ἀνθρώπων θίασοσ ἢ σύλλογοσ, οἷα βίον ἀπόλεμον καὶ εἰρηναῖον ἐζηλωκότεσ, θεωροὶ τῆσ φύσεωσ καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰσ ἐν αὐτοῖσ φύσεισ διερευνώμενοι, σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων πλανητῶν τε καὶ ἀπλανῶν ταῖσ διανοίαισ συμπεριπολοῦντεσ, τὰ μὲν σώματα κάτω πρὸσ χέρσον ἱδρυμέ-

---

ἂν ἦν cum Laurentiana scriptura μία ἄρα ἦν commutavimus. Quae vero sequuntur, ἀπὸ γεν. ἄχρι τέλουσ χρόνου, rursus ex Laur. sunt pro ὁ ἀπὸ γεν. ἄχρι τελευτῆσ χρόνοσ

4 sq δ' (sic cod.) αἱ πλεον. κ. ἀντεπιθέσεισ: Laur. δὲ πλεον. κ. ἀντιθέσεισ

5 καθ' ἑαυτῶν Laur. Edidit Hoesch. κατά θ' ἑαυτῶν, sed adnotavit: καθ ἑαυτ. ex „cod. Boico". Illud igitur ex errore fluxit.

7 ἡ πίστισ: Laur. ἡ om.

9 μήτ' ἀδικεῖν excidit in Laur., sed habet μήτ' ἀντιδικεῖν. Hoc idem (non μήτ' ἀνταδικεῖν, ut Mang. scripsit, quem ed. Tauchn. secuta est) sub ἴσωσ Hoesch. in margine adnotavit. Codex Hoeschelii ἀνδικεῖν. Item τὰσ τῶν φιλοπρ. ὁμ. ἐκρ. καὶ τὰ χωρία - προβέβληνται (cod. -ηται), δικαστήρια etc. ex Laur. edidimus, Hoesch. pro καὶ τὰ dedit καὶ κατά, ad quam scripturam Mang. notavit: „vel dele καὶ vel post διατριβὰσ adde μονωθέντεσ." Nimirum coniunxerunt Hoesch. et Mang. προβέβληνται cum eis quae sequuntur. Ed. Tauchn. καὶ τὰσ τῶν - ἐκτρ. κατὰ χωρ.

13 οἷα: Laur. om. Idem v. 15. male ἐν αὐτῇ pro ἐν αὐτοῖσ

17 ἱδρυμένοι: edd. Hoesch. Richt. et Tauchn. male ἱδρύμενοι. Adnotavit vero Mang. „melius ἱδρυόμενοι". Ipse cod. Hoesch. ἱδρυμένοι.

νοι, τὰσ δὲ ψυχὰσ ὑποπτέρουσ κατασκευάζοντεσ, ὅπωσ αἰθεροβατοῦντεσ τὰσ ἐκεῖ δυνάμεισ περιαθρῶσιν, οἷα χρηστοὶ τῷ ὄντι κοσμοπολῖται γενόμενοι, οἳ τὸν μὲν κόσμον ἐνόμισαν εἶναι πόλιν, πολίτασ δὲ τοὺσ τῆσ σοφίασ ὁμιλητάσ, ἀρετῆσ ἐγγραφούσησ, ᾗ πεπίστευται τὸ κοινὸν πολίτευμα πρυτανεύειν.

Γέμοντεσ οὖν καλοκἀγαθίασ καὶ τῶν περὶ σῶμα καὶ ἐκτὸσ ἀλογεῖν ἐθιζόμενοι, καὶ ἐξαδιαφορεῖν τὰ ἀδιάφορα μελετῶντεσ, καὶ κατὰ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἀλειφόμενοι, καὶ συνόλωσ ἐπάνω τῶν παθῶν ἵστασθαι σπουδάζοντεσ ἀεὶ καὶ τὸν ἐπιτειχισμὸν αὐτῶν πάσῃ δυνάμει καθαιρεῖν παιδευόμενοι, καὶ ταῖσ τῆσ τύχησ μὴ καμπτόμενοι προσβολαῖσ διὰ τὸ προεκλελογίσθαι τὰσ ἐπιθέσεισ αὐτῆσ — ἐπικουφίζει γὰρ καὶ τὰ βαρύτατα τῶν ἀβουλήτων ἡ πρόληψισ — καινὸν οὐδὲν ἔτι τῆσ διανοίασ τῶν συμβαινόντων ἐπιλαμβανούσησ, ἀλλ' ὡσ ἐπὶ παλαιοῖσ καὶ ἑώλοισ ἀμαυρὰν τὴν ἀντίληψιν ποιουμένησ, εἰκότωσ ἐνευφραινόμενοι ταῖσ ἀρεταῖσ ἅπαντα τὸν βίον ἑορτὴν ἄγουσιν. οὗτοι μὲν οὖν ὀλίγοσ εἰσὶν ἀριθμόσ, ἐμπύρευμα κατὰ πόλεισ ὑποτυφόμενοι σοφίασ, ἕνεκα τοῦ μὴ κατὰ τὸ παντελὲσ σβεσθεῖσαν ἀρετὴν ἐκ τοῦ γένουσ ἡμῶν ἀφανισθῆναι. εἰ δὲ τοῖσ ὀλίγοισ συνεφρόνησαν οἱ πανταχοῦ καὶ

---

2 sq. τὰσ ἐκεῖ δυνάμεισ Laur., edd. τὰσ ἄνω δυνάμεισ. Ibidem οἷα (Mang. malebat οἱ) χρηστοὶ τῷ ὄντι κοσμοπολῖται γενόμενοι correximus, licet Laur. confirmet Hoeschelii textum οἷα χρηστοὺσ τ. ὄ. κοσμοπολίτασ (ipse cod. Hoesch. κοσμοποιήτασ) γενομένουσ.

3 εἶναι ex Laur. addidimus, item v. 4 τῆσ ante σοφίασ.

4 πεπίστευται (ut ed. Hoesch.): ita Laur. in margine habet, in textu vero πιστεύεται.

7 ἀδιάφορα: Laur. διάφορα

10 τύχησ scribi debebat pro ψυχῆσ, quod edd. tuentur. Ex Laur. vero καμπτόμενοι pro καθαπτόμενοι sumptum est.

11 προεκλελογίσθαι: ita scripturam Laurentianam προεκλελογεῖσθαι correximus. Hoesch. etc. προσεκλελογῆσθαι

12 πρόληψισ: Laur. πρόσληψ. Ibidem ἔτι Laur. pro ἐπὶ, quem in modum iam Mang. corrigi volebat.

13 ἐπιλαμβανούσησ Laur. Edd. ὑπολαβούσησ, sed codex Boicus, ut Hoesch. notavit et ipsi recognovimus, ὑπολαμβανούσησ.

15 ἅπαντα τὸν Laur., edd. ἅπαντά γε τὸν

16 εἰσὶν: ita Laur. et Hoesch. in marg., codex Hoeschelii ἐστὶν

ἐγένοντο οἵουσ ἐβούλετ' εἶναι ἡ φύσισ, ἀνεπίληπτοι καὶ ἀνυπαίτιοι πάντεσ, ἐρασταὶ φρονήσεωσ, χαίροντεσ τῷ καλῷ δι' αὐτὸ τὸ καλόν, καὶ τοῦτο μόνον ἀγαθὸν ἡγούμενοι, τὰ δ' ἄλλα ὑπήκοα καὶ δοῦλα ὡσ ἂν ἄρχοντοσ, εὐδαιμονίασ ἂν αἱ πόλεισ ἐγένοντο μεσταί, τῶν μὲν ὅσα λύπησ αἴτια καὶ φόβων ἀμέτοχοι, πλήρεισ δὲ τῶν ἀπεργαζομένων χαρὰσ καὶ εὐπαθείασ, ὡσ μηδένα καιρὸν ἐλλείπειν ἱλαροῦ βίου, πάντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον εἶναι ἑορτήν.

Διὸ παρ' ἀληθείᾳ δικαζούσῃ τῶν φαύλων οὐδὲ εἷσ ἀλλ' οὐδὲ τὸν βραχύτατον χρόνον ἑορτάζει, συνειδήσει τῶν ἀδικημάτων ἀγχόμενοσ, καὶ τῇ ψυχῇ κατηφιῶν, εἰ καὶ τῷ προσώπῳ μειδιᾶν καθυποκρίνοιτο. ποῦ γὰρ ἔχει καιρὸν ἀψευδοῦσ εὐφροσύνησ κακοβουλότατοσ ὢν καὶ συζῶν ἀφροσύνῃ καὶ περὶ πάντα ἀκαιρευόμενοσ, γλῶτταν, γαστέρα, τὰ γεννητικά; δι' ἧσ μὲν γὰρ ἐκλαλεῖ τὰ ἀπόρρητα καὶ ἡσυχαστέα, τὴν δὲ ἀκράτου πολλοῦ καὶ ἐδεσμάτων ἀμέτρων ἀναπίμπλησιν ὑπὸ λαιμαργίασ, τοῖσ δὲ καταχρῆται εἰσ ἐκνομωτάτουσ οἴστρουσ καὶ μίξεισ ἀθέσμουσ, οὐ μόνον ἀλλοτρίοισ γάμοισ ἐπιμαινόμενοσ, ἀλλὰ καὶ παιδοφθορῶν καὶ βιαζόμενοσ τὸν ἄρρενα τῆσ φύσεωσ χαρακτῆρα παρα-

1 ἐγένοντο οἵουσ ἐβούλετ' εἶναι ἡ φύσισ: ita rectissime Laur. pro ἐγένονθ' οἵουσ ἐβουλεύθη (Mang. suspicatus est ἐβουλήθη) φύσισ. Ipse cod. Hoesch. certe ἐβουλεύθ' ἡ φύσισ.

4 ἄρχοντοσ Laur. Edd. omnes ἄρχοντεσ. Sed iam Hoesch. in notis: „lege ἄρχοντοσ scil. τοῦ καλοῦ". Atque sic ipse codex eius.

5 ἀμέτοχοι: male Laur. ἀμέτοχα

6 ἐλλείπειν Laur. pro ἐπιλείπειν. Uterque cod. ἱλαροῦ, edd. τοῦ ἱλαροῦ

8 οὐδὲ εἷσ Laur., edd. οὐδεὶσ

9 ἀγχόμενοσ: Laur. ἐχόμενοσ

10 Ex Laurentiano edidimus καὶ τῇ ψυχῇ κατηφιῶν, εἰ καὶ τῷ. Pessime edd. κἂν (Richt. et Tauchn. καὶ ἂν) τῇ ψυχῇ καὶ τῇ φωνῇ καὶ τῷ. Mang. scribi voluit ἀγχόμενοσ τῇ ψυχῇ, κἂν τῇ φωνῇ etc.

11 sq. συζῶν: Laur. ζῶν, unde etiam ζέων effici possit. Ex Laur. est πάντα pro πάντ'.

13 μὲν γὰρ ἐκλαλεῖ Laur. pro μὲν ἐκβάλλει

14 ὑπὸ: Laur. ἀπὸ. Post vero v. 15 εἰσ Laur. pro πρὸσ

16 οὐ μόνον ἀ. γ. ἐπιμαινόμενοσ Laur. pro ὁ οὐ μό. ἀ. γ. ἐπιμεμηνώσ

17 παιδοφθορῶν: ita cum Mang. corrigendum videbatur pro παιδοσπορῶν, quod etiam Laur. confirmat.

κόπτειν καὶ μεταβάλλειν εἰσ γυναικόμορφον ἰδέαν, ἕνεκα τοῦ μεμιασμένῳ πάθει καὶ ἐπαράτῳ χαρίσασθαι. δι' ἣν αἰτίαν ὁ πάντα μέγασ Μωϋσῆσ, τὰσ ὑπερβολὰσ τοῦ περὶ τὴν ὄντωσ ἑορτὴν κάλλουσ ἰδών, τελειοτέραν ἢ κατ' ἀνθρωπίνην φύσιν ὑπέλαβεν εἶναι καὶ ἀνέθηκεν αὐτῷ θεῷ, φήσασ κατὰ λέξιν οὕτωσ· ἑορταὶ κυρίου. τὸ γὰρ ἐπίλυπον καὶ περιδεὲσ τοῦ ἡμετέρου γένουσ λογιζόμενοσ καὶ ὡσ ἔστι μυρίων κακῶν μεστόν, ἃ γεννῶσι μὲν αἱ ψυχῆσ πλεονεξίαι, γεννῶσι δ' αἱ σώματοσ κῆρεσ, προσβάλλουσι δ' αἱ τῆσ τύχησ ἀνωμαλίαι καὶ τῶν συνόντων αἱ ἀντεπιθέσεισ μυρία κακὰ δρώντων τε καὶ πασχόντων, εἰκότωσ ἐθαύμαζεν εἰ δύναταί τισ ἐν τοσούτῳ πελάγει πραγμάτων ἑκουσίων τε καὶ ἀκουσίων φορούμενοσ καὶ μηδέποτ' ἠρεμῆσαι οἷόσ τε ὢν μήδ' ἀκινδύνῳ βίῳ μετ' ἀσφαλείασ ἐνορμίσασθαι, τὴν μὴ λεγομένην ἀλλὰ πρὸσ ἀλήθειαν οὖσαν ὄντωσ ἄγειν ἑορτήν, ἐνευφραινόμενοσ καὶ ἐντρυφῶν θεωρίᾳ τε τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ καὶ ἀκολουθίᾳ φύσεωσ καὶ ἁρμονίᾳ πρὸσ ἔργα λόγων καὶ πρὸσ λόγουσ ἔργων. ὅθεν ἀναγκαίωσ εἶπε τὰσ ἑορτὰσ εἶναι μόνου θεοῦ· μόνοσ γὰρ εὐδαίμων καὶ μακάριοσ, παντὸσ μὲν ἀμέτοχοσ κακοῦ, πλήρησ δ' ἀγαθῶν τελείων, μᾶλλον δ', εἰ χρὴ τἀληθὲσ εἰπεῖν, αὐτὸσ ὢν τἀγαθόν, ὃσ οὐρανῷ καὶ γῇ τὰ κατὰ μέροσ ἐπώμβρισεν ἀγαθά. παρ' ὃ καὶ τῶν

---

2 πάθει καὶ ἐπαράτῳ Laur. pro καὶ ἐπαρ. πάθ.

5 cf. Lev. 23, 2.

5 ἐπίλυπον pro ἐπίλοιπον, quod etiam Laur. confirmat, adstipulante Mangeio scripsimus.

6 Pro περιδεὲσ Laur. ἐπιδεὲσ

7 sq. δ' αἱ σώματοσ: Laur. δὲ σώματοσ. Paullo post rursus τύχησ cum Mangeio correximus pro ψυχῆσ, quod in libris scriptum est.

8 κῆρεσ: cod. Hoesch. κῆραι

10 εἰκότωσ Laur. pro εἶθ' οὕτωσ

11 sq. οἷόσ τε ὢν uterque codex pro οἷόσ τ' ὢν

12 Pro μετ' ἀσφαλείασ Laur. male μεταμελείασ, nec recte idem v. 13 ὄντωσ ἄγειν om.

17 παντὸσ μὲν ἀμ. κακοῦ Laur. pro πάντων μὲν ἀμέτ. κακῶν, sed ipse cod. Hoesch. πάντων μ. ἀ. κακοῦ. Versu sq. τἀγαθόν Laur. pro τὸ ἀγ.

19 post τὰ (Laur. om.) κατ. μερ. cum Mangeio ἐπώμβρισεν scribendum duximus pro ὤμβρισεν

πάλαι τισ ἀρετώσῃ διανοίᾳ γαληνιασάντων τῶν παθῶν ἐμειδία, χαρᾶσ ἐγκύμων καὶ ὑπόπλεωσ γενομένη, καὶ λογισαμένη παρ᾽ ἑαυτῇ, μήποτ᾽ ἄρα τὸ μὲν χαίρειν μόνον ἐστὶν ἴδιον θεοῦ, αὐτὴ δὲ διαμαρτάνει σφετεριζομένη τὰσ ὑπὲρ ἄνθρωπον εὐπαθείασ, εὐλαβεῖταί τε καὶ τὸν ψυχικὸν γέλωτα ἀρνεῖται μέχρι τοῦ παρηγορηθῆναι. τὸ δέοσ γὰρ αὐτῆσ ὁ ἵλεωσ ἐπικουφίζει θεόσ, χρησμῷ κελεύσασ ὁμολογεῖν ὅτι ἐγέλασεν, ἵν᾽ ἡμᾶσ ἀναδιδάξῃ ὅτι οὐ κατὰ τὸ παντελὲσ ἐστέρηται τὸ γενητὸν χαρᾶσ, ἀλλ᾽ ἔστιν ἡ μὲν ἀμιγὴσ καὶ ἀκραιφνεστάτη, μηδὲν τῶν τῆσ ἐναντίασ ἐπιδεχομένη φύσεωσ, ἐξαίρετοσ θεοῦ, ἡ δ᾽ ἀπ᾽ ἐκείνησ ῥυεῖσα μικτή, βραχέσιν ἀνακεκραμένη λυπηροῖσ, ἀνδρὸσ ἤδη σοφοῦ δωρεὰν μεγίστην λαβόντοσ τὴν τοιαύτην μῖξιν, ἐν ᾗ πλείω τὰ ἡδέα τῶν ἀηδῶν ἀνακέκραται. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον.

ΠΕΡΙ ΣΑΒΒΑΤΟΥ.

Μετὰ δὲ τὴν συνεχῆ καὶ ἀδιάστατον καὶ διαιωνίζουσαν ἑορτὴν ἄγεται δευτέρα, ἡ δι᾽ ϛ´ ἡμερῶν ἱερὰ ἑβδόμη. ἣν οἱ μὲν ὠνόμασαν παρθένον, εἰσ τὴν ὑπερβάλλουσαν ἁγνείαν ἀπιδόντεσ αὐτῆσ, οἱ δ᾽

---

1 ἀρετώσῃ διανοίᾳ: ita in Laur. correctum est pro ἀρετῶσα διάνοια, quod etiam Hoesch. in suo codice invenit. Fortasse erit qui suspicetur ἀρετ. διάν. aliena manu textui inlatum esse. Ibidem γαληνιασάντων Laur. pro γαλην. αὐτῇ praebuit.

2 παρ᾽ ἑαυτῇ Laur. pro παρ᾽ αὐτῇ (cod. αὐτ.)

3 μόνον ἐστὶν ἴδιον θεοῦ Laur. pro ἴδιόν ἐστι μόνου θεοῦ. Etiam διαμαρτάνει (quod iam Hoesch. in margine notavit) Laur. pro διαμαρτάνῃ

4 τε καὶ ex cod. Hoesch. Laur. om. τε, edd. male δὲ καὶ

5 cf. Gen. 18, 10 sqq.

6 ὁ ἵλεωσ ἐπικουφ. θεόσ Laur. pro ἐπικ. ὁ ἵλ. θε.

6 sq. ἵν᾽ ἡμᾶσ et γενητὸν Laur. pro ἵνα (ipse cod. ἵν᾽) ἡμᾶσ et γεννητικὸν (cuius loco iam Mangeio γεννητὸν reponendum videbatur)

10 βραχέσιν confirmat Laur. Mang. malebat οὐ βραχ., sicut paullo ante ἐξαιρέτωσ.

12 οὖν: Laur. omittit.

15 καὶ διαιωνίζουσαν Laur. Edd. pler. καὶ om., at nec editio princ. nec ipse codex Hoeschelii.

16 ἡ δι᾽ ϛ´: Laur. ἤδη· ϛ´, cod. Hoesch. ἡ δι᾽ ἕξ

17 ἀπιδόντεσ edd. et (om. αὐτῆσ) Laur. At cod. Hoesch. ἐπιδόντεσ

αὐτοὶ καὶ ἀμήτορα, σπαρεῖσαν ἐκ μόνου τοῦ πατρὸσ τῶν ὅλων, ἰδέαν τῆσ ἄρρενοσ γενεᾶσ, ἀμέτοχον τῆσ πρὸσ γυναικῶν· ἀνδρειότατοσ γὰρ καὶ ἀλκιμώτατοσ ἀριθμόσ, εὖ πεφυκὼσ πρὸσ ἀρχὴν καὶ ἡγεμονίαν. ἔνιοι δ' αὐτὴν καιρὸν προσηγόρευσαν, ἀπὸ τῶν αἰσθητῶν τεκμαιρόμενοι τὴν νοητὴν αὐτῆσ οὐσίαν. ὅσα γὰρ τῶν ἐν αἰσθητοῖσ ἄριστα, δι' ὧν αἱ ἐτήσιοι ὧραι καὶ τῶν καιρῶν αἱ περίοδοι τεταγμένωσ ἐπιτελοῦνται, μετέσχηκεν ἑβδομάδοσ, λέγω δὲ πλανήτασ ἑπτὰ καὶ ἄρκτον καὶ πλειάδασ καὶ σελήνησ αὐξομένησ τε καὶ μειουμένησ ἀνακυκλώσεισ καὶ τῶν ἄλλων τὰσ ἐναρμονίουσ καὶ παντὸσ λόγου κρείττουσ περιφοράσ. Μωϋσῆσ δ' ἀπὸ σεμνοτέρου πράγματοσ ἐκάλεσεν αὐτὴν συντέλειαν καὶ παντέλειαν, ἑξάδι μὲν τὴν γένεσιν τῶν τοῦ κόσμου μερῶν ἀναθείσ, ἑβδομάδι δὲ τὴν τελείωσιν. ἑξὰσ μὲν γὰρ ἀρτιοπέριττοσ ἀριθμόσ, ἐκ τοῦ δὶσ τρία παγείσ, ἔχων ἄρρενα μὲν τὸν περιττόν, θῆλυν δὲ τὸν ἄρτιον, ἐξ ὧν εἰσὶν αἱ γενέσεισ κατὰ φύσεωσ θεσμοὺσ ἀκινήτουσ. ἑβδομὰσ δ' ἀμιγέστατοσ καὶ φῶσ, εἰ χρὴ τἀληθὲσ εἰπεῖν, ἑξάδοσ· ἃ γὰρ ἐγέννησεν ἑξάσ, ταῦθ' ἑβδομὰσ τελεσφορηθέντα ἐπεδείξατο. παρ' ὃ καὶ γενέθλιοσ τοῦ κόσμου δεόντωσ ἂν προσαγορεύοιτο, καθ' ἣν τὸ τοῦ πατρὸσ ἔργον τέλειον ἐκ τελείων μερῶν ἀναφανέν, προστέτακται πάντων ἀπέχειν ἔργων ἐν αὐτῇ. οὐκ ἐπειδὴ ῥᾳθυμίασ ὁ νόμοσ εἰσηγητήσ· αἰεὶ γὰρ ἐθίζει κακοπαθεῖν καὶ πρὸσ πόνον ἀλείφει καὶ τοὺσ ἀργεῖν καὶ σχολάζειν ἐθέλοντασ προβέβληται· διείρηται γοῦν

---

3 ἀριθμόσ Laur. pro ὁ ἀριθμόσ. Ibidem εὖ πεφυκὼσ πρ. ἀρχ. καὶ ἡγεμονίαν: Laur. πρ. ἀρχ. καὶ εὐδαιμονίαν εὖ πεφ.

4 τεκμαιρόμενοι Laur. pro τεκμηράμενοι. At ipse codex Hoeschelii τεκμηρόμενοι, nisi quod eadem manu -ράμενοι substitutum est.

6 ἐπιτελοῦνται: Laur. ἀποτελοῦνται

7 πλανήτασ (hoc acc. uterque cod.) ἑπτά: Laur. πλ. ς'

8 ἀνακυκλώσεισ Laur. pro ἀνακυκλήσεισ

9 sq. περιφοράσ: Laur. διαφοράσ

14 sq. ἀκινήτουσ: Laur. ἀνικήτουσ

19 ἀπέχειν: sic scribendum videbatur pro ἀνέχειν. Ceterum corrupta h. l. Laurentiani scriptura est; habet enim: ἀνεφάνη· προστέτακται πάντων ἂν ἔχειν ἔργον ἐν αὐτῇ

20 αἰεὶ Laur., item ἐθέλοντασ. Edd. ἀεὶ et θέλοντασ

ϛ' ἡμέρασ ἐνεργεῖν, ἀλλ' ἵνα τοὺσ συνεχεῖσ καὶ ἀτρύτουσ πόνουσ χαλάσῃ καὶ τὰ σώματα μεμετρημέναισ ἀνέσεσιν ἀνακτησάμενοσ καινώσῃ πάλιν πρὸσ τὰσ αὐτὰσ ἐνεργείασ. οἱ γὰρ διαπνεύσαντεσ οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ ἀθληταὶ ῥώμην συλλέγονται καὶ ἀπὸ κραταιοτέρασ δυνάμεωσ ἀνυπερθέτωσ ἕκαστα τῶν πρακτέων τλητικῶσ ὑπομένουσι. προστάξασ μέντοι μὴ διαπονεῖν τοῖσ σώμασι κατὰ τὰσ ἑβδομάδασ ἐφῆκε τὰσ ἀμείνουσ πράξεισ ἐπιτελεῖν. αὗται δ' εἰσὶν αἱ διὰ λόγων καὶ δογμάτων τῶν κατ' ἀρετήν· προτρέπει γὰρ φιλοσοφεῖν τὸ βελτιοῦν τὴν ψυχὴν καὶ τὸν ἡγεμόνα νοῦν. ἀναπέπταται γοῦν ταῖσ ἑβδόμαισ μυρία κατὰ πᾶσαν πόλιν διδασκαλεῖα φρονήσεωσ καὶ σωφροσύνησ καὶ ἀνδρείασ καὶ δικαιοσύνησ καὶ τῶν ἄλλων ἀρετῶν· ἐν οἷσ οἱ μὲν ἐν κόσμῳ καθέζονται, σὺν ἡσυχίᾳ τὰ ὦτα ἀνωρθωκότεσ, μετὰ προσοχῆσ πάσησ, ἕνεκα τοῦ διψῆν λόγων ποτίμων, ἀναστὰσ δέ τισ τῶν ἐμπειροτάτων ὑφηγεῖται τἄριστα καὶ συνοίσοντα, οἷσ ἅπασ ὁ βίοσ ἐπιδώσει πρὸσ τὸ βέλτιον. ἔστι δ', ὡσ ἔποσ εἰπεῖν, τῶν κατὰ μέροσ ἀμυθήτων λόγων καὶ δογμάτων δύο τὰ ἀνωτάτω κεφάλαια, τό τε πρὸσ θεὸν δι' εὐσεβείασ καὶ ὁσιότητοσ, καὶ τὸ πρὸσ ἀνθρώπουσ διὰ φιλανθρωπίασ καὶ δικαιοσύνησ· ὧν ἑκάτερον εἰσ πολυσχιδεῖσ ἰδέασ καὶ πάσασ ἐπαινετὰσ τέμνεται. ἐξ ὧν δῆλόν ἐστιν ὅτι Μωϋσῆσ οὐδένα καιρὸν ἀπράκτουσ ἐᾷ τοὺσ χρωμένουσ αὐτοῦ ταῖσ ἱεραῖσ ὑφηγήσεσιν· ἀλλ' ἐπειδὴ συνέστημεν ἐκ ψυχῆσ καὶ σώματοσ, ἀπένειμε καὶ τῷ σώματι τὰ οἰκεῖα ἔργα καὶ τῇ ψυχῇ τὰ ἐπιβάλλοντα, καὶ ἐφεδρεύειν τὰ ἕτερα τοῖσ ἑτέροισ ἐσπούδασεν, ἵνα πονοῦντοσ μὲν τοῦ σώματοσ

---

1 ϛ' Laur. Edd. ἕξ. Praeterea cf. Exod. 20, 9.

3 διαπνεύσαντεσ Laur., item cod. Boic. apud Hoesch. Hinc ἀναπνεύσαντεσ invito codice editum est.

9 τὸ βελτιοῦν Laur. Edd. τότε, βελτιοῦντασ

12 ἀνωρθωκότεσ (sed habet ἀνωρθοκ.) Laur. pro ἀνωρθιακότεσ

14 ἐμπειροτάτων: Laur. ἀριστοτάτων. Ibidem τἄριστα (non τὰ ἄρ.) ex cod. Hoesch. est; cod. Laur. ἄριστα habet.

16 sq. τό τε προσ - καὶ τὸ πρὸσ: Laur. τά τε πρὸσ - καὶ πρὸσ

21 sq. τῷ σώματι: Laur. τῷ om. Sed recte idem τὰ ἐπιβάλλοντα pro ἐπιβάλλ.

διαναπαύηται ἡ ψυχή, ἀναπαύλῃ δὲ χρωμένου διαπονῇ, καὶ οἱ ἄριστοι τῶν βίων ὅ τε θεωρητικὸσ καὶ πρακτικὸσ ἀμείβωσιν ἀντιπαραχωροῦντεσ ἀλλήλοισ, ὁ μὲν πρακτικὸσ λαχὼν ἑξάδα κατὰ τὴν τοῦ σώματοσ ὑπηρεσίαν, ὁ δὲ θεωρητικὸσ ἑβδομάδα πρὸσ ἐπιστήμην καὶ τελειότητα διανοίασ.

Ἀπείρηται δὲ κατ' αὐτὴν πῦρ ἐναύειν ὡσ ἀρχὴν καὶ σπέρμα τῶν περὶ βίον πραγματειῶν, ἐπειδήπερ ἄνευ πυρὸσ οὐδέν ἐστι τῶν εἰσ τὰσ πρὸσ τὸ ζῆν ἀναγκαίασ χρείασ ἐργάσασθαι· ὡσ δι' ἑνὸσ τοῦ τ' ἀνωτάτω καὶ πρεσβυτάτου τῶν εἰσ τὰσ τέχνασ καὶ μάλιστα τὰσ βαναύσουσ αἰτίου κεκωλῦσθαι καὶ τὰ τῶν κατὰ μέροσ ὑπηρεσιῶν. ἀλλ' ἔοικε διὰ τοὺσ ἀπειθεστέρουσ καὶ ἥκιστα προσέχοντασ τὸν νοῦν τοῖσ προσταττομένοισ καὶ τἄλλα προσνομοθετεῖν, οὐ μόνον ἐλευθέρουσ ἀπέχειν ἔργων ἀξιῶν ταῖσ ἑβδόμαισ, ἀλλὰ καὶ θεράπουσι καὶ θεραπαίναισ ἐφιεὶσ ἄδειαν, καὶ μόνον οὐκ ἐλευθερίαν δι' ἓξ ἡμερῶν προκηρύττων τούτοισ, ἵν' ἀμφοτέρουσ ἀναδιδάξῃ μάθημα κάλλιστον· τοὺσ μὲν δεσπότασ αὐτουργεῖν ἐθίζεσθαι, μὴ ἀναμένοντασ τὰσ ἀπὸ τῶν οἰκετῶν λατρείασ καὶ ὑπηρεσίασ, ἵν', εἴ τινεσ ἀβούλητοι καιροὶ κατάσχοιεν κατὰ τὰσ τῶν ἀνθρωπίνων πραγμάτων μεταβολάσ, μὴ τῷ ἀήθει τῆσ αὐτουργίασ προκάμνοντεσ τοῖσ ἐπιτάγμασιν ἀπαγορεύωσιν, ἀλλ' εὐκινητοτέροισ χρώμενοι τοῖσ τοῦ σώματοσ μέρεσιν εὐφόρωσ καὶ μετὰ ῥᾳστώνησ ἐνεργῶσι· τοὺσ δ'

---

1 διαναπαύηται ἡ ψυχή: hoc ordine Laur., edd. ἡ ψυχ. διαν. Ibidem Laur. διαπονεῖ

4 ἑβδομάδα πρὸσ Laur., edd. ἑβδ. καὶ πρὸσ

6 κατ' αὐτὴν Laur. Edd. κατὰ ταύτην

6 cf. Exod. 35, 2.

8 sq. τοῦ τ' ἀνωτάτω Laur. pro τοῦ ἀνωτάτου

10 καὶ τὰ τῶν correximus. Edd. et Laur. om. τὰ.

11 προσέχοντασ: Laur. παρεχομένασ. Ibidem cum Mangeio προσταττομένοισ edendum videbatur pro πραττομένοισ.

12 προσνομοθετεῖν (ut etiam lib. 2 de Monarch. p. 825 scripsit Philo): Laur. νομοθετεῖν. Ibidem ἀπέχειν rursus coniecimus pro ἀνέχειν.

14 μόνον οὐκ, ut etiam Mang. scribi volebat, Laur. pro μόνον. Ibidem δι' ἓξ ἡμερῶν προκηρ. τούτοισ: Laur. προκηρ. ἓξ ἡμερῶν τούτοισ

18 προκάμνοντεσ: Laur. προσκάμν.

οἰκέτασ μὴ ἀπογινώσκειν τὰσ ἀμείνουσ ἐλπίδασ, ἀλλ' ἔχοντασ τὴν δι' ἓξ ἡμερῶν ἄνεσιν ἐμπύρευμά τι καὶ ζώπυρον ἐλευθερίασ τὴν εἰσ τὸ παντελὲσ ἄφεσιν, εἰ διαμένοιεν χρηστοὶ καὶ φιλοδέσποτοι, προσδοκᾶν. ἐκ δὲ τοῦ τοὺσ μὲν ἐλευθέρουσ ὑπομεῖναι τότε τὰσ τῶν δούλων ὑπηρεσίασ, τοῖσ δ' οἰκέταισ ἐγγενέσθαι μετασχεῖν ἀδείασ συμβήσεται τὸν τῶν ἀνθρώπων βίον ἐπιδοῦναι πρὸσ ἀρετὴν τελειοτάτην, ὑπομιμνησκομένων· ἰσότητοσ καὶ ἀντεκτινόντων ἀλλήλοισ χρέοσ ἀναγκαῖον τῶν τε λαμπρῶν εἶναι δοκούντων καὶ τῶν ἀφανεστέρων. ἀλλὰ γὰρ οὐ θεράπουσι μόνον ἐκεχειρίαν ἔδωκεν ὁ νόμοσ ταῖσ ἑβδόμαισ, ἀλλὰ καὶ κτήνεσι. καὶ μέντοι φύσει θεράποντεσ μὲν ἐλεύθεροι γεγόνασιν· ἄνθρωποσ γὰρ ἐκ φύσεωσ δοῦλοσ οὐδείσ· τὰ δ' ἄλογα ζῶα πρὸσ τὴν τῶν ἀνθρώπων χρείαν καὶ ὑπηρεσίαν εὐτρεπισθέντα δούλων ἔχει τάξιν· ἀλλ' ὅμωσ ἀχθοφορεῖν ὀφείλοντα καὶ τοὺσ ὑπὲρ τῶν κεκτημένων ὑπομένειν πόνουσ τε καὶ καμάτουσ ἀναπαύλασ εὑρίσκεται ταῖσ ἑβδόμαισ. καὶ τί δεῖ τῶν ἄλλων μεμνῆσθαι; οὐδὲ γὰρ βοῦσ, πρὸσ τἀναγκαιότατα καὶ χρησιμώτατα τῶν ἐν τῷ βίῳ γεγονώσ, γῆσ προετοιμαζομένησ εἰσ σποράν, καὶ πάλιν δραγμάτων συγκομισθέντων εἰσ καρποῦ κάθαρσιν,

---

1 sq. μὴ ἀπογινώσκειν τὰσ: Laur. μὴ ἀπογινώσκοντασ. Idem ἓξ quod sequitur om.

2 ζώπυρον Laur. pro ζωπύρημα

4 ὑπομ. τότε τὰσ τῶν δούλων Laur. pro ὑπομ. τὰσ δούλων

7 ἀντεκτινόντων: Laur. ἀντεκτιννόντων, unde ἀντεκτιννυόντων reponi potest. Infra uterque codex ἀποτιννύντεσ, rursusque Laur. ἀντεκτίννειν.

8 ἀλλὰ γὰρ οὐ Laur. pro ἀλλ' (cod. ἀλλὰ) οὐ

10 καὶ μέντοι Laur. pro καί τοι

11 τὰ δ' ἄλογα ζῶα Laur. pro τὰ δ' ἄλλα ζῶα. τῶν, quod sequitur, in Laur. deest.

14 εὑρίσκεται Laur. pro εὑρίσκεσθαι

15 οὐδὲ γὰρ etc: Laur. οὔτε habet et om. καὶ χρησιμ. τῶν ἐν

16 sq. Hoeschelii codex post γεγονὼσ add. ἄροτρον (Mang. ἄροτον correxit), item ἀλοητόν post εἰσκομισθέντων (συγκομ. ex Laur. edidimus). At utrumque aliena manu inlatum videtur. Exclusimus autem eo confidentius, quum Laur. certe alterum, ἀλοητόν, non habeat.

17 εἰσ καρποῦ κάθαρσιν: Laur. εἰσ καρποὺσ καθαίρειν

τότε καταζεύγνυται, τὴν τοῦ κόσμου γενέθλιον ἡμέραν ἑορτάζων. οὕτωσ ἄρα διὰ πάντων τὸ ἱεροπρεπὲσ αὐτῆσ πεφοίτηκε.

ΠΕΡΙ ΤΟΚΙΣΤΩΝ.

Τοσούτου δ' ἀξιοῖ σεβασμοῦ τὴν ἑβδόμην, ὥστε καὶ τἄλλα ὅσα μετέχει ταύτησ τετίμηται παρ' αὐτῷ. κατὰ γοῦν ἕβδομον ἐνιαυτὸν ἀεὶ χρεωκοπίαν εἰσηγεῖται, πένησιν ἐπικουρῶν καὶ τοὺσ πλουσίουσ ἐπὶ φιλανθρωπίαν προκαλούμενοσ, ἵνα τῶν ἰδίων μεταδιδόντεσ ἀπόροισ χρηστὰ καὶ παρ' αὐτῶν προσδοκῶσιν, εἴ γένοιτό τι πταῖσμα. πολλὰ δὲ τἀνθρώπινα καὶ οὐκ ἐπὶ τῶν αὐτῶν ὁ βίοσ ὁρμεῖ, πνεύματοσ ἀστάτου τρόπον μεταβάλλων πρὸσ τἀναντία. καλὸν μὲν οὖν τὴν ἀπὸ δανειστῶν χάριν ἐπὶ πάντασ φθάνειν χρεώστασ. ἐπεὶ δ' οὐ πάντεσ πρὸσ μεγαλοφροσύνην πεφύκασιν, ἀλλ' εἰσὶν ἥττουσ ἔνιοι χρημάτων ἢ οὐ σφόδρα εὔποροι, καὶ τούτουσ ἐδικαίωσεν εἰσφέρειν ἃ μὴ λυπήσει διδόμενα. παρὰ γὰρ τῶν ὁμοεθνῶν εἰσπράττειν οὐκ ἐάσασ ἐφῆκε παρὰ τῶν ἀλλοτρίων κομίζεσθαι, τοὺσ μὲν καλέσασ εὐθυβόλωσ ἀδελφούσ, ἵνα μηδεὶσ φθονῇ τῶν ἰδίων ὡσ ἂν ἐκ φύσεωσ συγκληρονόμοισ ἀδελφοῖσ· τοὺσ δὲ μὴ ὁμοεθνεῖσ, ὅπερ εἰκόσ, ἀλλοτρίουσ ὠνόμασεν. ἡ δ' ἀλλοτριότησ ἀκοινώνητον, εἰ μὴ καὶ ταύτην τισ ὑπερβολαῖσ ἀρετῶν μεθαρμόσαιτο πρὸσ συγγενικὴν οἰκειότητα. συνόλωσ γὰρ ἐν ἀρε-

---

1 γενέθλιον: Laur. γενομένην

2 πεφοίτηκε: ita ex Laur. emendavimus quod in edd. scriptum est πεφοίτηται. Pro αὐτῆσ quod praecedit Laur. αὐτῶν

* Titulus περι τοκιστ. in codice paullo post ponitur, ad verba πολλὰ δὲ τἀνθρώπινα. Quod non recte fieri in promptu est.

5 sq. ὅσα μετέχ. ταύτησ Laur. pro ὁπόσα ταύτ. μετέχ.

9 παρ' αὐτῶν corrigendum erat, ut iam Hoesch. in margine adscripsit, pro περὶ αὐτῶν

14 Verba καὶ τούτουσ ἐδ. εἰσφ. exciderunt in Laur.

16 ἀλλοτρίων, ut iam Mang. monuit, pro ἄλλων substituendum erat.

17 τῶν ἰδίων: Laur. τοῖσ ἰδίοισ

20 συνόλωσ γὰρ ἐν ἀρεταῖσ: ita optime Laur. Ex ed. Hoesch. ante edebatur συν. γ. ἐνάρετοσ. Quo de loco Mang. sic: „Mendosus locus et ni fallor mutilus. Morell. in margine pro ἐνάρετοσ scripsit ἐναρίθμιοσ, sed neque sic placet. Ita vero forsan scribendum: οἰκειότητα, φιλοθέῳ ἐντραφεὶσ πολιτείᾳ καὶ νόμοισ."

ταῖσ ἡ πολιτεία καὶ νόμοισ, οἳ τὸ καλὸν μόνον καὶ ἀγαθὸν εἰσηγοῦνται. ὑπαίτιον δὲ τὸ δανείζειν ἐπὶ τόκῳ· δανείζεται γάρ τισ οὐ περιουσιάζων, ἀλλὰ δῆλον ὅτι χρεῖοσ ὤν, ἐπαναγκαζόμενοσ τόκουσ τοῖσ ἀρχαίοισ προσαποτίνειν, ἀπορώτατοσ ἐξ ἀνάγκησ γίνεται, καὶ νομίσασ ὠφελεῖσθαι βλάπτεται, καθάπερ τὰ ὀλιγόφρονα τῶν ζώων τῷ παρόντι δελεασθείσ. σοὶ δ' εἴποιμ' ἄν, ὦ δανειστά, τί κοινωνίᾳ τρόπον ἀκοινώνητον συσκιάζεισ; τί δὲ λόγῳ μὲν δοκεῖν εἶναι χρηστὸσ καὶ φιλάνθρωποσ προσποιῇ, ἐν δὲ τοῖσ ἔργοισ ἀπανθρωπίαν ἐπιδείκνυσαι καὶ δεινὴν σκαιότητα, πλείω ὧν ἔδωκασ ἀναπράττων, καὶ ἔστιν ὅπου διπλάσιον, πενιχρότερον ἀπεργαζόμενοσ τὸν πένητα; τοιγάρτοι συναλγεῖ μὲν οὐδείσ, ὅταν ὀρεχθεὶσ πλειόνων προσσυναποβάλῃσ καὶ τὰ ὄντα, πάντεσ δ' ἐφήδονται, τοκογλύφον καὶ ὀβολοστάτην καὶ τὰ τοιαῦτα ὀνομάζοντεσ, ὡσ ἔφεδρον ἀλλοτρίων κακῶν καὶ τὴν ἑτέρων ἀτυχίαν ἰδίαν κρίνοντα εὐτυχίαν. ἀλλὰ πηρόν, ὡσ ἔφη τισ, ἡ κακία, καὶ ὁ δανείζων τυφλόσ, τὸν χρόνον τῆσ ἀποδόσεωσ οὐ βλέπων, ἐν ᾧ μόλισ ἢ οὐδ'

---

1 οἳ τὸ καλ. μόνον καὶ ἀγαθὸν: sic ex Laur. scripsimus, nisi quod μόνοι praebet. Edd. οἳ μόνον τὸ καλὸν ἀγαθὸν

2 δὲ: Laur. omittit. Recte vero idem δανείζεται pro δανεῖται, ad quod Hoesch. in margine notavit δανιεῖται vel δανείζεται. Ibidem περιουσιάζων: ita omnino scribendum erat pro περιουσίᾳ ζῶν, quod duce ipso codice cum Hoeschelio omnes ediderunt.

3 ἐπαναγκαζόμενοσ Laur. pro ὡσ (Mang. „melius ὅσ") ἐπαναγκ.

4 Pro προσαποτίνειν uterque codex προσαποτείνειν

5 βλάπτεται Laur. pro ἔτι (ἐπι?) βλάπτεται. Ibidem τῷ παρόντι δελεασθείσ: sic egregie Laur. (male vero ὀλιγόφωνα pro ὀλιγόφρονα) pro τῷ δελέατι τῷ παρόντι

7 τί δὲ λόγῳ μὲν etc.: haec in Laur. sic: τί δὲ τῷ μὲν δοκεῖν χρηστὸσ τοῖσ ἔργοισ ἀπανθρωπίαν ἐπιδ.

8 ἐπιδείκνυσαι Laur., edd. δεικνύεισ

9 πλείω Laur. pro πλεῖον. Item ἔστιν ὅπου διπλάσιον Laur. pro ἔστιν ὅτε (ipse codex ὅτι) διπλασιάσασ

11 προσσυναποβάλῃσ Laur. pro προσαποβάλῃσ (ita cod., edd. -λλῃσ)

13 ἀλλοτρίων rectissime Laur. pro ἀνθρωπίνων. Ibidem κρίνοντα, quod ex margine ed. Hoesch. iam Mang. etc. receperunt, confirmat Laur. pro κρίνοντεσ

14 πηρόν, ut iam voluit Mangeius, pro πονηρὸν reposuimus.

ὅλωσ ὧν ἐκ πλεονεξίασ τεύξεσθαι προσεδόκησεν ἐφίξεται. οὗτοσ μὲν οὖν διδότω δίκασ τῆσ φιλαργυρίασ, ἃ προήκατο μὴ κομιζόμενοσ, ἵνα μὴ ἀτυχίασ ἀνθρώπων ἐνεργάζηται προσοδευόμενοσ ἐξ ὧν οὐ προσῆκεν. οἱ δὲ χρεῶσται τῆσ ἀπὸ τῶν νόμων φιλανθρωπίασ ἀξιούσθωσαν, τόκουσ καὶ ἐπιτοκίασ μὴ τελοῦντεσ, αὐτὸ δὲ μόνον τὸ ἀρχαῖον ἀποτιννύντεσ. πάλιν γὰρ ἐν καιροῖσ τὸν αὐτὸν ἔρανον ἀνταποτίσουσι τοῖσ συμβάλλουσιν, ἀμειβόμενοι ταῖσ ἴσαισ ὠφελείαισ τοὺσ χάριτοσ ἄρξαντασ.

ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΑΔΕΛΦΩΝ.

Τοιαῦτα διαταξάμενοσ ἑξῆσ ἀναγράφει νόμον ἡμερότητοσ καὶ φιλανθρωπίασ μεστόν. ἐάν, φησί, πραθῇ σοί τισ ἐκ τῶν ἀδελφῶν, ἓξ ἔτη δουλευέτω σοί, τῷ δὲ ἑβδόμῳ προῖκ᾽ ἐλεύθεροσ ἀφείσθω. πάλιν ἀδελφὸν τὸν ὁμόφυλον εἶπεν, ὑποσπείρων τῇ τοῦ κεκτημένου ψυχῇ διὰ τῆσ προσρήσεωσ τὴν πρὸσ τὸν ὑπήκοον συγγένειαν, ἵνα μὴ ὡσ ξένου, πρὸσ ὃν οὐδὲν φίλτρον ἐστὶν εὐνοίασ, κατολιγωρῇ, φιλοίκειον δέ τι προπεπονθὼσ πάθοσ ἐκ διδασκαλίασ, ἣν ὁ ἱερὸσ λόγοσ ὑπηχεῖ, μὴ ἀγανακτῇ μέλλοντοσ ἐλευθεροῦσθαι. τοὺσ γὰρ τοιούτουσ δούλουσ μὲν ὀνομάζεσθαι συμβέβηκε, μισθωτοὺσ δὲ τῷ ὄντι εἶναι, τῶν ἀναγκαίων ἕνεκεν ὑπηρετοῦντασ, κἂν εἰ μυριάκισ αὐτεξούσιον δυναστείαν καὶ

2 μὴ κομιζόμενοσ: Laur. μὴ om. Postea cod. Hoesch. (sed non edd.) προσήκατο

3 ἐνεργάζηται ex Laur. pro ἐργάζηται sumpsimus.

5 ἀποτιννύντεσ: ita uterque codex. Male edd. ἐπιτιννύντεσ

12 cf. Deut. 15, 12.

12 ἐκ ex Laur. addidimus, item σοί post δουλευέτω

14 ὑποσπείρων confirmat Laur. Mang. „forte ἐπισπείρων".

15 πρὸσ τὸν ὑπήκοον Laur. Edd. ex cod. Hoesch. πρὸσ τὸ ὑπ.

17 προπεπονθὼσ Laur. pro πεπονθὼσ. Ibidem ὁ ἱερὸσ λόγοσ: Laur. ὁ ἱερεὺσ

18 ἀγανακτῇ: Laur. ἀγανακτεῖ

19 sq. μισθωτοὺσ et ἕνεκεν Laur. pro θῆτασ et χάριν

20 κἂν εἰ etc. cum eis quae praecedunt coniunximus, edd. cum eis quae sequuntur. Qua cum re cohaeret quod ex Laur. οὓσ τιθασσ. pro οὐ τιθασσ. (Mang. παραγγέλματα;) reposuimus.

δεσποτείαν ἀπειλῶσί τινεσ κατ' αὐτῶν. οὓσ τιθασσευτέον, ἐπιλέγοντασ τὰ χρηστὰ ἐκεῖνα τοῦ νόμου παραγγέλματα· μισθωτόσ ἐστιν, ὦ ἄνθρωπε, ὁ λεγόμενοσ δοῦλοσ, καὶ αὐτὸσ ἄνθρωποσ ὤν, ἔχων πρὸσ σὲ τὴν ἀνωτάτω συγγένειαν· ἔπειτα καὶ ἀπὸ τοῦ αὐτοῦ ἔθνουσ, τάχα δὲ καὶ φυλέτησ καὶ δημότησ, ἐνδείασ χάριν εἰσ τουτὶ τὸ σχῆμα ὑπηγμένοσ. ἀνελὼν οὖν ἐκ τῆσ ψυχῆσ ἐπίβουλον κακόν, ἀλαζονείαν, ὡσ μισθωτῷ προσφέρου, τὰ μὲν διδούσ, τὰ δὲ καὶ λαμβάνων. παρέξει μὲν οὖν ἐκεῖνοσ ἀοκνότατα τὰσ ὑπηρεσίασ αἰεὶ καὶ πανταχοῦ, μηδὲν ὑπερτιθέμενοσ, ἀλλὰ φθάνων τὰσ σὰσ ἐπικελεύσεισ τάχει καὶ προθυμίᾳ· σὺ δ' ἀντιδίδου τροφὰσ καὶ ἐσθῆτα καὶ τὴν ἄλλην ἐπιμέλειαν, μὴ καταζεύξασ ὡσ ζῷον ἄλογον, μηδὲ πλείοσι καὶ βαρυτέροισ τῆσ δυνάμεωσ ἄχθεσι πιέζων, μηδ' ὑβρίζων, μηδ' ἀπειλαῖσ καὶ ἐπανατάσεσιν εἰσ χαλεπὰσ δυσθυμίασ ἐφελκόμενοσ, ἀλλ' ἀναχωρήσεισ διδοὺσ καὶ ἀνέσεισ μεμετρημένασ. τὸ γὰρ μηδὲν ἄγαν ἐστὶ πάντων καὶ μάλιστα πρὸσ οἰκέτασ δεσποτῶν. ὑπηρετηθεὶσ μέντοι χρόνον αὐταρκέστατον, ἑξαετίαν, ὅταν ὁ ἱερώτατοσ ἀριθμὸσ ἐνίστασθαι μέλλῃ, τὸ ἕβδομον ἔτοσ, ἐλεύθερον μεθίεσο τὸν ἐλεύθερον φύσει, μηδὲν ἐνδοιάσασ· ἀλλ', ὦ γενναῖε, καὶ γεγηθὼσ δίδου τὴν χάριν, ὅτι καιρὸν ἔλαβεσ τὸ ζώων ἄριστον ἄνθρωπον ἐν τοῖσ μεγίστοισ εὐεργετῆσαι. δούλῳ γὰρ οὐκ ἔστι μεῖζον ἐλευθερίασ ἀγαθόν. χαίρων οὖν καὶ προσεπιδαψίλευσαί

---

1 ἀπειλῶσι ex Laur. edidimus, dubitanter quidem. Codex Hoeschelii ἀπίδωσι. Mang. proposuit ἀποδιδῶσι, item καθ' αὐτῶν. Ad ἀπειλῶσι cf. infra v. 12. Ibidem Laur. ἐπιλέγοντεσ

5 τουτὶ: Laur. τοῦτο. Ibidem ὑπηγμένοσ Laur., edd. ἀπηγμένοσ

6 κακόν: Laur. κακῶν

8 ἀοκνότατα τὰσ: Laur. ἀοκνοτάτουσ. Ibidem αἰεὶ ex Laur. est pro ἀεί.

9 σὰσ om. Laur.

10 τροφὰσ Laur., edd. τὰσ τροφὰσ

12 ἐπανατάσεσιν: Laur. ἐπαναστάσεσιν

14 ἐστὶ πάντων ex coniectura scripsimus. ἐπὶ enim, quod edd. pro ἐστὶ praebent, parum quadrat ad ea quae sequuntur, πρὸσ οἰκέτασ δεσποτῶν. Laur. ad ἐπὶ πάντων addit ἄριστον

18 sq. τὸ ζώων ἄριστον Laur. pro τὸ ἄριστον ζῷον

τι τῶν ἰδίων, ἀφ' ἑκάστου μέρουσ τῆσ κτήσεωσ ἐφοδιάζων τὸν ἐλευθερωθέντα. σὸν γὰρ ἐγκώμιον, εἰ μὴ πένησ ὢν ἀπαλλάττοιτο τῆσ οἰκίασ, ἀλλὰ τῶν εἰσ τἀναγκαῖα ἀφορμῶν ηὐπορηκώσ, ἵνα μὴ πάλιν ὑπ' ἐνδείασ εἰσ τὴν ἀρχαίαν ἀτυχίαν ὑπαχθεὶσ δουλεύειν ἀναγκασθῇ διὰ σπάνιν τῶν περὶ δίαιταν καὶ ἡ σὴ χάρισ ἀναιρεθῇ. πενήτων μὲν δὴ πέρι τοσαῦτα.

ΔΙΑΤΙ ΚΕΛΕΥΕΙ ΤΗΝ ΧΩΡΑΝ ΑΡΓΕΙΝ ΕΝ ΕΤΕΙ ΕΒΔΟΜΩ.

Κελεύει δ' ἑξῆσ τὴν χώραν ἀργὴν ἐᾶν ἔτει ἑβδόμῳ, διὰ πολλά. πρῶτον μέν, ἵνα τὴν ἑβδομάδα διατιμήσῃ κατὰ πάντασ χρόνουσ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν· ἑβδόμη τε γὰρ πᾶσα ἡμέρα ἱερά, τὸ καλούμενον παρ' Ἑβραίοισ σάββατον, μήν τε ὁ ἕβδομοσ κατὰ πᾶν ἔτοσ ἑορτῶν ἔλαχε τὴν μεγίστην, ὥστ' εἰκότωσ καὶ ὁ ἕβδομοσ ἐνιαυτὸσ τοῦ περὶ τὸν ἀριθμὸν σεβασμοῦ τυχὼν ἐκτετίμηται. δεύτερον δ' ἐκεῖνο· μὴ παντάπασιν ἴσθι τοῦ κέρδουσ, ἀλλὰ καὶ ἑκὼν ζημίαν ὑπόμεινον, ἵνα καὶ τὴν ἀκούσιον βλάβην, εἴ ποτε γένοιτο, ῥᾳδίωσ ἐνέγκῃσ, ἀλλὰ μὴ ὡσ ἐπὶ καινῷ καὶ ξένῳ δυσχεραίνων ἀθυμήσῃσ. εἰσὶ γὰρ τῶν πλουσίων οὕτωσ ἀτυχεῖσ τὰσ γνώμασ τινέσ, ὥστ' ἀπορίασ ἐπι-

---

1 ἐφοδιάζων τὸν ἐλευθερωθέντα Laur. pro ἐφοδιάσασ τὸν εὐεργετηθέντα

3 ηὐπορηκὼσ Laur. pro εὐπορηκώσ

4 ὑπαχθεὶσ δουλ. ἀναγκασθῇ: haec ad utrinsque codicis scripturam concinnavimus. Hoeschelii enim codex sic habet: ὑπαχθῇ δουλ. ἀναγκασθείσ, Laur. ἀπαχθεὶσ δουλ. ὑπαχθῇ

5 πενήτων: Laur. προσηλύτων

9 την χώραν ἀργὴν ἐᾶν Laur. pro ἀργὴν καὶ (at cod. Hoesch. καὶ non habet) ἀνάροτον τὴν χώραν ἐᾶν

9 cf. Lev. 25, 4.

10 διατιμήσῃ Laur. pro τιμήσῃ

12 μήν Laur. pro μηνῶν

14 sq. δ' ἐκεῖνο confirmat Laur. Mang. malebat δι' ἐκεῖνο.

15 παντάπασιν Laur. pro πάντα φησὶν

16 ῥᾳδίωσ: Laur. ῥάωσ

17 καινῷ ante καὶ Laur. om. Ibidem ἀθυμήσῃσ Laur. pro ἀθυμῇσ. Male idem εἰ pro εἰσί.

18 ὥστ' Laur. pro ὡσ. Idem vero ἀφορίασ pro ἀπορίασ

σχούσησ στενάζουσι καὶ κατηφοῦσιν οὐδὲν ἧττον ἢ εἰ πᾶσαν ἀφῃρέθησαν τὴν οὐσίαν. ἀλλὰ τῶν Μωσέωσ ὁμιλητῶν ὅσοι φοιτηταὶ γνήσιοι, καλοῖσ ἐνασκούμενοι νομίμοισ ἐκ πρώτησ ἡλικίασ, ἐθίζονται τὰσ ἐνδείασ εὐμαρῶσ ὑπομένειν διὰ τοῦ καὶ τὴν ἀρετῶσαν χώραν ἐᾶν ἀργήν, ἅμα καὶ μεγαλοφροσύνην ἀναδιδασκόμενοι, καὶ τὰσ ὁμολογουμένασ ὠφελείασ μόνον οὐκ ἐκ τῶν χειρῶν ἑκουσίωσ μεθιέναι. τρίτον κἀκεῖνο αἰνίττεσθαί μοι δοκεῖ, τὸ μηδενὶ προσήκειν τὸ παράπαν ἀνθρώπουσ ἄχθει βαρύνειν καὶ πιέζειν. εἰ γὰρ τοῖσ μέρεσι τῆσ γῆσ, ἃ μήτε ἡδονῆσ μήτε ἀλγηδόνοσ πέφυκε κοινωνεῖν, μεταδοτέον ἀναπαύλησ, πῶσ οὐχὶ μᾶλλον ἀνθρώποισ, οἷσ οὐ μόνον αἴσθησισ πρόσεστιν ἡ κοινὴ καὶ τῶν ἀλόγων ζώων, ἀλλὰ καὶ λογισμὸσ ἐξαίρετοσ, ᾧ τὰ ἐκ πόνων καὶ καμάτων ὀδυνηρὰ τρανοτέραισ φαντασίαισ ἐντυποῦνται; παύσασθε οὖν, οἱ λεγόμενοι δεσπόται, τῶν ἐπὶ δούλοισ σφοδρῶν καὶ δυσυπομονήτων ἐπιταγμάτων, ἃ καὶ τὰ σώματα κατακλᾷ βιαζόμενα καὶ τὰσ ψυχὰσ πρὸ τῶν σώματων ἀπαγορεύειν ἀναγκάζει. φθόνοσ γὰρ οὐδεὶσ προστάττειν τὰ μέτρια, δι' ὧν καὶ ὑμεῖσ τῆσ προσηκούσησ ὑπηρεσίασ ἀπολαύσετε, καὶ οἱ θεράποντεσ εὐκόλωσ τὰ κελευσθέντα δράσουσι καὶ τὰσ διακονίασ οὐ πρὸσ ὀλίγον, ἅτε προκαμόντεσ καί, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, ἐν τοῖσ πόνοισ προγηράσαντεσ ὑπομενοῦσιν, ἀλλὰ πρὸσ μήκιστον ἀθλητῶν τρόπον ἀνηβῶντεσ, οὐ τῶν εἰσ πολυσαρ-

---

1 στενάζουσι Laur. pro στένουσι. In eodem codice ex κατηφοῦσιν supra scripto ï factum est κατηφïοῦσιν (οῦ non mutato). Male Laur. ἦν εἰ pro ἢ εἰ.

2 Μωσέωσ: ita h. l. etiam Laur.

4 ἀρετῶσαν (cod. Hoesch. ἀρεστῶσαν) χώραν: Laur. om. χώραν

5 ἀναδιδασκόμενοι confirmat Laur. in margine; in textu habet ἐκδιδασκ.

6 ὠφελείασ Laur. pro προσόδουσ. Ibidem ἑκουσίωσ Laur. pro ἑκουσίῳ γνώμῃ. Pro μεθιέναι idem μεθίενται

9 μήτε - μήτε Laur. pro μήθ' et μήτ'

11 ἀλόγων: Laur. ἄλλων. Aliter supra.

12 ἐντυποῦνται Laur. pro ἐντυποῦται. Idem paullo post κατακλᾶν

17 εὐκόλωσ Laur. pro εὐφόρωσ. Nec vero ex eodem ἀπολαύσητε et δράσωσι recipienda videbantur, nec magis προκάμνοντεσ.

19 ἐν τ. πόνοισ Laur. Edd. ἐν om. Idem ὑπομενοῦσιν pro ὑπομένουσιν.

20 ἀνηβῶντεσ: Laur. ἀμείβοντεσ

κίαν πιαινομένων, ἀλλ' οἷσ ἔθοσ ἐγγυμνάζεσθαι διὰ ξηρῶν ἱδρώτων πρὸσ τὴν τῶν περὶ τὸν βίον ἀναγκαίων καὶ χρησίμων κτῆσιν. παυσάσθωσαν καὶ οἱ τῶν πόλεων ἡγεμόνεσ φόροισ καὶ δασμοῖσ συνεχέσι καὶ μεγάλοισ αὐτὰσ ἐκτραχηλίζοντεσ, οἳ τὰ μὲν ἴδια ταμεῖα πληροῦσιν ἅμα τοῖσ χρήμασι καὶ τὰσ ἀνελευθέρουσ κακίασ τὰσ τὸν σύμπαντα βίον αὐτῶν ῥυπαινούσασ θησαυροφυλακοῦσιν. ἀνηλεεστάτουσ γὰρ καὶ γέμοντασ ἀπανθρωπίασ τοὺσ τῶν φόρων ἐκλογεῖσ ἐπίτηδεσ αἱροῦνται, τὰσ πρὸσ πλεονεξίαν ἀφορμὰσ αὐτοῖσ ἐνδιδόντεσ, οἱ δὲ τῇ φυσικῇ σκαιότητι προσειληφότεσ καὶ τὴν ἐκ προσταγμάτων δεσποτικῶν ἐκεχειρίαν, καὶ πάντα ὑπὲρ ἀρεσκείασ τῆσ ἐκείνων ἐγνωκότεσ πράττειν, οὐδὲν παραλείπουσι τῶν χαλεπωτάτων, ἐπιείκειαν καὶ ἡμερότητα μηδ' ὄναρ ἰδόντεσ. τοιγάρτοι πάντα συγχέουσι καὶ συμφύρουσιν ἀργυρολογοῦντεσ, ὡσ μὴ μόνον ἐκ τῶν οὐσιῶν ἀναπράττειν, ἀλλὰ καὶ ἐκ τῶν σωμάτων, ὕβρεσιν, αἰκίαισ, πρὸσ ἀποτομίαν κεκαινουργημέναισ βασάνοισ. ἤδη δέ τινασ ἀκούω μηδὲ νεκρῶν ἀποσχέσθαι δι' ἀγριότητα καὶ παρηλλαγμένην λύτταν, οἳ ἐπὶ τοσοῦτον ἐθηριώθησαν, ὡσ καὶ τύπτειν ὑστριχίσι τολμᾶν τοὺσ τεθνεῶτασ. καὶ ἐπειδή τισ τῆσ ἄγαν ὠμότητοσ κατεμέμφετο, εἰ μηδ' ὁ θάνατοσ ἡ κακῶν ἁπάντων ἀπαλλαγὴ καὶ ὡσ ἀληθῶσ τελευτὴ περιποιήσει τοῖσ ἐκποδὼν τὸ ἀνύβριστον, ἀλλ' ἀντὶ ταφῆσ καὶ τῶν νομιζομένων αἰκίασ ὑπομένουσιν, ἀπολογίᾳ χείρονι κατηγορίασ ἐχρῶντο, φάσκοντεσ προπηλακίζειν τοὺσ τεθνεῶτασ, οὐχ ὑπὲρ τοῦ κωφὴν καὶ ἀναίσθητον κόνιν ὑβρίζειν, ἀνωφε-

2 περὶ τὸν βίον Laur. Edd. τὸν om.

4 ταμεῖα: Laur. μέτρα

5 ἅμα τ. χρήμ. Laur. om. Ibidem κακίασ τὰσ pro κακίασ καὶ, quod in edd. est, reponendum iudicavimus.

6 θησαυροφυλακοῦσιν Laur. Edd. -κοῦντεσ

9 ἐκ προσταγμάτων et v. 10 πάντα Laur. pro ἐξ ἐπιταγμάτων et πάνθ'

12 συγχέουσι καὶ συμφύρουσιν Laur. pro φύρουσι καὶ συγχέουσι.

16 ἐθηριώθησαν: Laur. ἐθεωρήθησαν

17 ὑστριχίσι Laur. pro ὕστριξι

19 περιποιήσει τοῖσ ἐκποδὼν Laur. pro περιποιήσαιθ' οἷσ (Mang. coniecit περιποιήσαιτο τοῖσ) ἐκποδ.

λεσ γάρ, ἀλλ' ὑπὲρ τοῦ τοὺσ ἢ κατὰ γένοσ ἢ καθ' ἑταιρίαν προσήκοντασ εἰσ οἶκτον ἀγαγεῖν καὶ προκαλέσασθαι λύτρα καταθέσθαι τῶν σωμάτων, ὑστάτην ἀπονείμαντασ χάριν.

Εἶτα, ὦ φαυλότατοι πάντων ἀνθρώπων, εἴποιμ' ἂν αὐτοῖσ, ἃ διδάσκετε οὐ προεμάθετε; ἢ προκαλεῖσθαι μὲν εἰσ ἔλεον ἑτέρουσ εἰ καὶ δι' ὠμοτάτων ἔργων οἴδατε, τὰ δὲ χρηστὰ καὶ φιλάνθρωπα πάντα τῆσ ἑαυτῶν ψυχῆσ ἐκτέτμησθε; καὶ ταῦτα μὴ ἀποροῦντεσ ἀγαθῶν ὑφηγητῶν καὶ μάλιστα τῶν ἡμετέρων νόμων, οἳ καὶ τὴν γῆν μεθῆσαν φόρων τῶν ἐτησίων, ἄνεσιν καὶ ἀνάπαυλαν αὐτῇ παρασχόντεσ; αὕτη δέ, καίτοι δοκοῦσα ἄψυχοσ εἶναι, πρὸσ ἀμοιβὴν ηὐτρέπισται καὶ χάριτοσ ἀντίδοσιν, ἣν ἔλαβε δωρεὰν ἀντεκτίνειν ἐπειγομένη· τυχοῦσα γὰρ ἀδείασ ἔτει ἑβδόμῳ καὶ μὴ πονηθεῖσα, σύμπαντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον ἐλευθεριάσασα, τῷ μετὰ ταῦτα διπλασίουσ, ἔστι δ' ὅτε καὶ πολυπλασίουσ ὑπὲρ ἐλευθερίασ ἤνεγκε καρπούσ. τὸ παραπλήσιον μέντοι καὶ τοὺσ ἀλείπτασ ἰδεῖν ἔστι δρῶντασ ἐπὶ τῶν ἀθλητῶν. ὅταν γὰρ αὐτοὺσ συγκροτήσωσιν ἐπαλλήλοισ καὶ συνεχέσι γυμνασίαισ, πρὶν εἰσ ἄκρον καμεῖν, ἀνακτῶνται, παρέχοντεσ ἀνέσεισ οὐ μόνον τῶν ἐν ἀθλήσει πόνων, ἀλλὰ καὶ τῶν πρὸσ ἐδωδὴν καὶ πόσιν, τὸ

---

1 ἢ κατὰ γένοσ: Laur. ἢ om. Versu 2 codex Hoesch. προσκαλέσασθαι

4 εἶτα et διδάσκετε Laur. pro εἶτ' et διδάσκετ'. Ibidem αὐτοῖσ: Laur. αὐτούσ

5 προκαλεῖσθαι et εἰ καὶ δι' ὠμοτάτων: Laur. προκαλεῖσθε et καὶ δικαιώματα τῶν

6 sq. πάντα τῆσ ἑαυτῶν ψυχ. Laur. Edd. τῆσ αὐτ. ψυχ. omisso πάντα.

8 ἡμετέρων: Laur. ὑμετέρων. Ibidem μεθῆσαν Laur., codex Hoeschelii μεθεῖσαν, edd. μεθίεσαν. Ferri potest μεθῆσαν, cuius formae exempla innotuerunt, nisi μεθῆκαν mavis reponere.

9 φόρων Laur. pro ἀπὸ φόρτων

11 ἀντεκτίνειν: Laur. ἀντεκτίννειν. Vide supra.

12 ἔτει ἑβδόμῳ Laur. Edd. ἔτ. τῷ ἑβδ.

13 ἐλευθεριάσασα Laur. pro ἀπελευθ.

14 ὑπὲρ ἐλευθερίασ Laur. Edd. ὑπὲρ (Mang. corrigendum esse vidit ὑπ') εὐφορίασ

15 ἰδεῖν ἔστι Laur. pro ἔστιν ἰδεῖν. Pro ἀθλητ. Laur. ἀσκητῶν

17 ἄκρον Laur. (idem antea γυμνασίοισ) pro ἅπαν

σκληροδίαιτον χαλῶντεσ εἴσ τε ψυχῆσ εὐθυμίαν καὶ εὐπάθειαν σώματοσ. καὶ οὐ δήπου διδάσκαλοι ῥαθυμίασ καὶ τρυφῆσ εἰσίν, οἷσ ἐπάγγελμα τὸ πρὸσ πόνουσ ἀλείφειν, ἀλλὰ μεθόδῳ καὶ τέχνῃ προσποιοῦσιν ἰσχὺν κραταιοτέραν ἰσχύϊ καὶ δυνάμεισ σθεναρωτέρας δυνάμεσι, τὴν ῥώμην ἀνέσει καὶ ἐπιτάσει καθάπερ ἁρμονίαν συναύξοντεσ. ἔμαθον δὲ παρὰ τῆσ πανσόφου ταῦτα φύσεωσ, ἥτισ τὸ ἐπίπονον καὶ καματηρὸν τοῦ γένουσ ἡμῶν ἐπισταμένη διένειμε τὸν χρόνον εἰσ ἡμέραν τε καὶ νύκτα, τῇ μὲν ἐγρήγορσιν, νυκτὶ δ' ὕπνον παρασχοῦσα. φροντὶσ γὰρ αὐτὴν οἷα μητέρα κηδεμονικωτάτην εἰσῆλθε τοῦ μὴ τὰ ἔγγονα ἀποτρύχεσθαι. μεθ' ἡμέραν γὰρ τὰ σώματα διανίστησι καὶ πρὸσ τὰσ τοῦ βίου χρήσεισ καὶ ὑπηρεσίασ ἁπάσασ ἐγείρει, κεντρίζουσα τοὺσ ἀργῷ καὶ ἁβροδιαίτῳ βίῳ σχολάζειν ἐθιζομένουσ· νύκτωρ δὲ καθάπερ ἐν πολέμῳ τὸ ἀνακλητικὸν ὑποσημήνασα πρὸσ ἀνάπαυλαν καλεῖ καὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν. οἱ δ' ἀποθέμενοι πολὺ βάροσ πραγματειῶν, ὅσον ἕωθεν εἰσ ἑσπέραν ἦσαν ἐπηχθισμένοι, καὶ ἐπανελθόντεσ οἴκαδε πρὸσ ἡσυχίαν τρέπονται, καὶ καταδαρθέντεσ ὕπνῳ βαθεῖ τὸν μεθημερινὸν πόνον ἐκνοσηλεύονται, καὶ πάλιν νεαλεῖσ καὶ ἀκμῆται γενόμενοι σπεύδουσιν ἕκαστοι πρὸσ τὰ οἰκεῖα καὶ συνήθη. τὸν δολιχὸν τοῦτον ἡ φύσισ διά τε ὕπνου καὶ ἐγρηγόρσεωσ ἀπένειμεν ἀνθρώποισ,

---

5 ἁρμονίαν Laur. pro ἁρμονίᾳ

8 τῇ μὲν ἐγρήγορσιν, νυκτὶ δ' Laur. Edd. τῇ μὲν ἐγρηγορεῖν, τῇ νυκτὶ δ'. Ibidem Laur. corrupte φρ. γὰρ αὐτῇ ἡμετέρα κηδεμονικωτάτη

9 τοῦ μὴ τὰ ἔγγ. Laur. pro τοῦ τὰ ἔγγ. μή. Quod sequitur ἀποτρύχεσθαι confirmat Laur., sed suprascriptum est ἀποτρίβεσθαι.

11 χρήσεισ Laur. pro χρείασ. Pro ἁπάσασ idem πάσασ. Ibidem κεντρίζουσα e coniectura scripsimus: Laur. κακίζουσα, Hoeschelius ἀναγκάζουσα.

12 ἀργῷ ex Laur. est pro ἀργίᾳ

13 ὑποσημήνασα Laur. pro ὑποσημάνασα

15 ἐπηχθισμένοι Laur. pro ἀπηχθ.

16 ὕπνῳ βαθεῖ: Laur. σὺν τῷ βάρει

17 ἐκνοσηλεύονται confirmat Laur. Apud Mang. vitiose exscriptum ἐκνοσιηλ., hinc Richt. ἐκνοσιλ. Ibidem ἀκμῆται Laur. pro ἀκμῆτεσ

18 ἕκαστοι Laur. pro ἕκαστοσ. Item τὰ οἰκεῖα pro τ' οἰκεῖα

19 post ἡ φύσισ Laur. add. δρόμον. διά τε Laur. pro διά θ'

ἵν᾽ ἐν μέρει μὲν ἐνεργῶσιν, ἐν μέρει δ᾽ ἀτρεμίζοντεσ ἑτοιμότερα καὶ εὐκινητότερα τὰ τοῦ σώματοσ ἴσχωσι μέρη.

Πρὸσ ἅπερ ἀπιδὼν ὁ τοὺσ νόμουσ ἡμῖν προφητεύσασ ἄνεσιν ἐκήρυξε τῇ χώρᾳ, δι᾽ ἑξαετίασ γεωπόνουσ ἐπισχών. ἀλλὰ γὰρ οὐχ ἕνεκα ὧν εἶπον αὐτὸ μόνων τοῦτ᾽ εἰσηγήσατο, ἀλλὰ καὶ τῆσ συνήθουσ φιλανθρωπίασ, ἣν ἅπαντι μέρει τῆσ νομοθεσίασ συνυφαίνειν ἀξιοῖ, τοῖσ ἐντυγχάνουσι ταῖσ ἱεραῖσ γραφαῖσ κοινωνικὰ καὶ χρηστὰ ἐνσφραγιζόμενοσ ἤθη. κελεύει γὰρ τῷ ἑβδόμῳ ἔτει μηδὲν συγκλείειν χωρίον, ἀλλὰ πάντασ ἀμπελῶνασ καὶ ἐλαιῶνασ ἀναπεπταμένουσ ἐᾶν, καὶ τὰσ ἄλλασ κτήσεισ ὅσαι σπαρτῶν εἰσὶν ἢ δένδρων, ἵνα τοῖσ ἀπαυτοματισθεῖσι καρποῖσ οἱ πένητεσ ἀδεῶσ χρῆσθαι δύνωνται μᾶλλον ἢ οὐχ ἧττον τῶν κεκτημένων. ὅθεν τοῖσ μὲν δεσπόταισ οὐκ ἐφῆκεν ἐργάζεσθαι, στοχαζόμενοσ τοῦ μηδεμιᾶσ λύπησ αἴτιοσ αὐτοῖσ γενέσθαι ὡσ τὰ μὲν ἀναλώματα παρασχοῦσι, τὰσ δ᾽ ἀντὶ τούτων προσόδουσ μὴ λαμβάνουσι· τοὺσ δ᾽ ἀπόρουσ ὡσ ἰδίων ἀπολαύειν τότε γοῦν τῶν ἀλλοτρίων εἶναι δοκούντων ἠξίωσε, ταπεινοῦ σχήματοσ αὐτοὺσ ἀπαλλάττων καὶ τῶν ἐπὶ μεταίταισ ὀνειδῶν. ἆρ᾽ οὐκ ἄξιον ἐρασθῆναι τῶν νόμων, οἳ τοσαύτησ γέμουσιν ἡμερότητοσ, δι᾽ ἣν οἱ μὲν πλούσιοι διδάσκονται μεταδιδόναι καὶ κοινωνεῖν ὧν ἔχουσι, παρηγοροῦνται δ᾽ οἱ πένητεσ, μὴ πάντοτε ταῖσ τῶν εὐπόρων οἰκίαισ ἐπιφοιτᾶν ἀναγκαζόμενοι πρὸσ ἐπανόρθωσιν ὧν ἐνδεεῖσ εἰσίν, ἀλλ᾽ ἔστιν ὅτε καὶ προσοδευόμενοι καθάπερ ἐξ ἰδίων κτημάτων τοὺσ ἀπαυτοματίζοντασ, ὡσ ἔφην, καρπούσ, χῆραι καὶ ὀρφανοὶ παῖδεσ καὶ ὅσοι ἄλλοι τῶν ἠμελημένων καὶ ἀφανῶν ἕνεκα τοῦ μὴ περιουσιάζειν, ταῖσ τοῦ θεοῦ δωρεαῖσ

---

5 ἕνεκα ὧν Laur. pro ἕνεχ᾽ (cd. ἕνεκ᾽) ὧν, et μόνων τοῦτ᾽ pro μόνον ταῦτ᾽
8 cf. Lev. 25, 3 sqq.
9 ἀμπελ. καὶ ἐλαιῶν. Laur. pro ἐλ. καὶ ἀμπ.
14 sq. μὴ λαμβάνουσι (cod. -νωσι) Laur. pro οὐ λαμβ.
20 εὐπόρων Laur. pro ἀπόρων. Pro ἐπιφοιτᾶν idem φοιτᾶν.
21 ἀλλ᾽ ἔστιν ὅτε: Laur. om. ἀλλ᾽, quapropter ἔστι δ᾽ ὅτε scribi possit.
23 καὶ ὅσοι Laur. pro ὅσοι apud Hoesch. Mang. de suo edidit ὅσοι τε. Pro ἄλλοι τῶν minus recte Laur. τῶν ἄλλων
24 ταῖσ τοῦ θεοῦ Laur. Edd. τότε περιουσιάζουσι ταῖσ τ. θε.

ἐξαπιναίως πεπλουτηκότες, ὃς αὐτοὺς πρὸς κοινωνίαν ἐκάλεσε τῶν κτητόρων ἐν τῷ τῆς ἱερᾶς ἑβδόμης ἀριθμῷ. καὶ ὅσοι μέντοι κτηνοτροφοῦσι, μετ' ἀδείας ἐπὶ χλοηφαγίας τὰ οἰκεῖα θρέμματα ἄγουσιν, ἐκλεγόμενοι πεδία εὔχορτα καὶ ἐπιτηδειότατα ἐμβόσκεσθαι, καταχρώμενοι τῇ τῆς ἐκεχειρίας ἀδείᾳ. καὶ φθόνος οὐδεὶς ἐκ τῶν δεσποτῶν ἀπαντᾷ, ἅτε παλαιοτάτῳ ἔθει κεκρατημένων, ὃ σύντροφον ἐκ μακρῶν χρόνων γενόμενον εἰς φύσιν ἐκνενίκηκεν.

ΠΕΡΙ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΟΥ ΕΤΟΥΣ.

Ἀρχὴν ταύτην βαλλόμενος ὡσπερεί τινα θεμέλιον ἐπιεικείας καὶ φιλανθρωπίας, ἑπτὰ ἑβδομάδας ἐτῶν συνθεὶς τὸ πεντηκοστὸν ὅλον ἀπέφηνεν ἱερόν, ἐξαίρετα καὶ πάντα διαφερόντως καλὰ νομοθετήσας ἐπ' αὐτῷ παρὰ τὰ κοινωνίαν ἔχοντα. πρῶτον μὲν τόδε. τὰς ἀλλοτριωθείσας κτήσεις οἴεται δεῖν ἀποδίδοσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις, ἵν' αἱ κληρουχίαι τοῖς γένεσι διαφυλάττωνται καὶ μηδεὶς τῶν λῆξιν εἰληχότων εἰς ἅπαν στερῆται τῆς δωρεᾶς.

ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΧΩΡΙΩΝ.

Ἐπειδὴ καιροὶ πολλάκις προσπίπτουσιν ἀβούλητοι, δι' οὓς ἀναγκάζονταί τινες πιπράσκειν τὰ ἴδια, καὶ τῆς ἐν δέοντι χρείας τούτων προὐνόησε καὶ τοὺς ὠνουμένους ἐκώλυσεν ἀπατᾶσθαι, τοῖς

---

1 ἐξαπιναίως confirmat Laur. Mang. per errorem ἐναπιναίως, idque repetiit Richt. Ibidem Laur. ὡς pro ὅς. Postea cod. Hoesch. θρέμματ' et πεδί'.

5 τῇ τῆς Laur. Edd. om. τῇ. Ibidem ἐκ τ. δεσπ. ἀπαντᾷ ἅτε: Laur. ἀπαντᾷ ταῖς ἐκ τ. δεσποτῶν. Postea Laur. ἔθει, Hoesch. codex ἔθνει

10 ὡσπερεί τινα θεμ. Laur. pro ὥσπερ θεμ. τινα

11 συνθεὶς: Laur. συνήθεις. Pro τὸ vero quod sequitur miro errore ab Hoeschelio, Mang., Richt. et in ed. Tauchn. τὸν (ex codice) editum est.

13 ἐπ' αὐτῷ: Laur. ἐπ' αὐτῶν. Ibidem ἀλλοτριωθείσας: corrupte Laur. ἀλλοτριώσεις ἃς

15 εἰληχότων Laur. pro εἰληφότων. At ipse cod. Hoesch. εἰληχότ.

16 στερῆται: Laur. στερεῖται

19 πολλάκ. προσπίπτουσιν Laur. pro συμπίπτουσι πολλ.

20 sq. χρείας τούτων προὐνόησε Laur. pro τούτ. χρεί. προὐνόησε

μὲν πιπράσκειν ἐφείσ, τοὺσ δ' ἐφ' οἷσ ὠνήσονται μάλα σαφῶσ ἀναδιδάξασ. μὴ γὰρ δίδοτε, φησί, τὰσ ἐπὶ πανκτησίᾳ τιμάσ, ἀλλὰ τὰσ πρὸσ ἐνιαυτῶν ὡρισμένον ἀριθμόν, οἳ ἐντόσ εἰσι πεντηκονταετίασ. οὐ γὰρ κτημάτων αἱ πράσεισ, ἀλλὰ καρπῶν ὀφείλουσιν εἶναι, διὰ δύο τἀναγκαιότατα· ἓν μὲν ὅτι σύμπασα ἡ χώρα κτῆμα κεκλήρωται θεοῦ, τῶν δὲ θεοῦ κτημάτων οὐχ ὅσιον ἄλλουσ ἐπιγράφεσθαι δεσπότασ· ἕτερον δέ, λῆξισ ἀπονενέμηται ἑκάστῳ τῶν κληρούχων, ἧσ στερεῖσθαι τὸν λαχόντα οὐκ ἐδικαίωσεν ὁ νόμοσ. τὸν μὲν οὖν ἐντὸσ τῆσ πεντηκονταετίασ δυνάμενον ἀναλαβεῖν τὰ οἰκεῖα ἤ τινα τῶν ἐγγυτάτω γένουσ ἀγχιστέων προκαλεῖται πάσῃ μηχανῇ κατατίθεσθαι ἣν ἔλαβε τιμήν, καὶ μὴ τῷ πριαμένῳ, καθ' ὃν ἔδει καιρὸν ὠφελήσαντι, ζημίασ αἴτιον γενέσθαι. τῷ δὲ ἀπόρωσ ἔχοντι συνεπάθησε καὶ μετέδωκεν ἐλέου, τὴν ἀρχαίαν δωρησάμενοσ αὖθισ περιουσίαν, δίχα τῶν κατ' εὐχὴν ἀφιερωθέντων ἀγρῶν ἐν τῇ τάξει τῶν ἀναθημάτων. ἀνάθημα γὰρ οὐχ ὅσιον ἀκυροῦσθαι χρόνῳ· διὸ προστέτακται, τὴν ἀξίαν τιμὴν τούτων ἐκλέγειν μηδὲν καταχαρισαμένουσ τῷ ποιήσαντι τὸ ἀνάθημα.

---

1 ἐφείσ Laur. pro ἐφιείσ

2 ἐπὶ πανκτησίᾳ Laur. Hoesch. ἐ. ἀκτησίᾳ, Maug. correxit ἐ. ἀεικτησίᾳ. At ipse cod. Hoesch. ἐπεπανκτ. (sic). Ibidem ἀλλὰ τὰσ Laur., edd. τὰσ om.

4 αἱ πράσεισ: Laur. om. αἱ

5 sq. κτῆμα κεκλήρωται θεοῦ Laur. pro θεοῦ (Maug. omisit, sed supplendum censuit; at iam Hoesch. ex codice suo ediderat) κτῆμα κέκληται

7 ἑκάστῳ confirmat Laur. Codex Hoesch. ἑκάστου. Idem λαχόντ'.

9 ἐγγυτάτω: Laur. ἐγγυτάτων. Versu 10 vero recte Laur. προκαλεῖται pro προσκαλεῖται.

10 κατατίθεσθαι et ἔδει Laur. pro κατατιθέναι et ἐδεῖτο

13 ἐλέου Laur. pro ἐλέουσ. Antea cod. Hoesch. τῷ δ' εὐπόρωσ

14 ἀφιερωθέντων Laur. pro ἀνιερωθ. Ibidem ἀναθημάτων. ἀνάθημα Laur. pro ἀνεθεμάτων. ἀνάθεμα. Subsequitur δ' in utroque codice. Sed in Laur. praecedit ἐν γὰρ τῇ τάξει: quo loco quum γὰρ ineptum sit, aptissimum vero post ἀνάθημα, in hunc locum, a quo aberrasse videtur, pro δ' transposuimus.

16 τούτων: Laur. τούτω. Ex eodem καταχαρισαμένουσ et ποιήσαντι pro καταχαριζομένουσ (cod. -νου) et ποιησαμένῳ dedimus.

ΠΕΡΙ ΠΡΑϹΕΩϹ ΟΙΚΙΑϹ ΕΞΩ ΤΕΙΧΩΝ.

Ταῦτα μὲν ἐπὶ ταῖσ τῆσ χώρασ διανομαῖσ καὶ κληρουχίαισ διατέτακται· ἕτερα δ' ἐπὶ ταῖσ οἰκίαισ. ἐπειδὴ δὲ καὶ τούτων αἱ μὲν κατὰ πόλεισ ἐντὸσ τειχῶν εἰσίν, αἱ δ' ἐν ἀγρῷ ἔξω τείχουσ ἐπαύλεισ, τὰσ μὲν ἐν τοῖσ χωρίοισ ἐπέτρεψεν ὁ νόμοσ αἰεὶ λυτροῦσθαι, τὰσ δὲ μὴ λυτρωθείσασ ἄχρι τοῦ πεντηκοστοῦ ἔτουσ ἀποδίδοσθαι προῖκα τοῖσ πάλαι κυρίοισ, καθάπερ καὶ τὰ κτήματα· μοῖρα γὰρ αἱ ἐπαύλεισ κτημάτων. ὅσαι δὲ τειχῶν ἐντόσ εἰσι, μέχρι μὲν ἐνιαυτοῦ τὴν ἀναπομπὴν ἐπὶ τοὺσ πεπρακότασ ἔχουσι· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰσ ἅπαν τοῖσ ἐωνησαμένοισ βεβαιοῦνται, μηδὲν τῆσ τοῦ πεντηκοστοῦ ἔτουσ ἐκεχειρίασ βλαπτούσησ τοὺσ πριαμένουσ. αἴτιον δὲ τὸ βούλεσθαι καὶ ἐπηλύταισ ἱδρύσεωσ τῆσ ἐνταῦθα βεβαίου παρασχεῖν ἀφορμήν. ἐπειδὴ γὰρ μετουσίαν γῆσ οὐκ ἔχουσιν, ἅτε μὴ καταριθμηθέντεσ ἐν ταῖσ κληρουχίαισ, οἰκιῶν αὐτοῖσ κτῆσιν ὁ νόμοσ ἀπένειμε, φροντίσασ τοῦ μὴ μετανάστασ γενέσθαι τοὺσ τῶν νόμων ἱκέτασ καὶ πρόσφυγασ. αἱ γὰρ πόλεισ, ὅτε ἐκληροδοτεῖτο ἡ χώρα, κατὰ φυλὰσ οὐ διενεμήθησαν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἦσαν συνῳκοδομημέναι, κατὰ τὰσ ἐν ἀγροῖσ ἐπαύλεισ τῶν οἰκητόρων ποιουμένων τὰσ διατριβάσ· ἐξ ὧν ὕστερον ἀναστάντεσ καὶ συνελθόντεσ, ἐπίδοσιν κοινωνίασ καὶ φιλανθρωπίασ, ὥσπερ εἰκόσ, ἐν χρόνῳ μακρῷ λαμβανούσησ, οἰκίασ ἐν ταὐτῷ καὶ πόλεισ ἐδείμαντο, ὧν καὶ ἐπηλύταισ, καθάπερ εἶπον, μετέ-

---

3 τῆσ χώρασ: Laur. ἐν ταῖσ χώραισ

4 cf. Lev. 25, 29 sqq.

4 ἐπειδὴ δὲ καὶ τούτων: Laur. ἐπεὶ δὲ ἐπὶ τούτων

5 ἐντὸσ τειχῶν Laur. pro τειχ. ἐντ. Ex utroque αἰεὶ pro ἀεὶ

8 sq. αἱ ἐπαύλεισ Laur., edd. om. αἱ

10 ἀναπομπὴν Laur. pro ἀποπομπὴν. Idem ἐωνησαμένοισ pro ὠνησ., et μηδὲν τῆσ τοῦ pro μηδὲν δὲ (sed cod. τῆσ add.) τοῦ

12 sq. τὸ βούλεσθαι Laur. pro τοῦ βούλ. Idem ἐπηλύταισ (cod. -τασ) ἱδρύσεωσ τῆσ ἐνταῦθα pro ἐπηλ. ἱδρύσ. τοῖσ ἐνταυθοῖ

17 ὅτε Laur., edd. ὅτ'. Idem συνῳκοδομημέναι, quod iam edi consuevit, pro συνοικοδομημέναι, quod est in codice Hoeschelii.

22 ἐπηλύταισ Laur. pro ἐπηλύται

δοσαν, ἵνα μὴ πάντων ἀποροῖεν κατὰ τῶν ἐν ἀγροῖσ καὶ τῶν κατὰ πόλεισ.

ΔΙΑΤΙ ΙΕΡΕΩϹ ΟΙΚΙΑϹ ΕΝ ΠΟΛΕΙ ΠΡΑΘΕΙϹΑϹ ΕΙϹ ΑΠΑΝ ΕΦΗΚΕ ΛΥΤΡΟΥϹΘΑΙ.

Περὶ δὲ τῆσ ἱερωμένησ φυλῆσ τάδε νομοθετεῖται. γῆσ ἀποτομὴν οὐκ ἀπένειμε τοῖσ νεωκόροισ ὁ νόμοσ, ὑπολαβὼν αὐτάρκη πρόσοδον εἶναι τούτοισ τὰσ ἀπαρχάσ. η′ δὲ καὶ μ′ πόλεισ ἀπεκλήρωσεν εἰσ οἴκησιν καὶ δισχιλίουσ ἑκάστῃ πήχεισ προάστειον ἐν κύκλῳ. τὰσ οὖν ἐν ταύταισ οἰκίασ οὐ τὸν αὐτὸν τρόπον ταῖσ ἄλλαισ, ὅσαι εἴσω τειχῶν τυγχάνουσιν, ἐβεβαίωσε τοῖσ πριαμένοισ, ἐντὸσ ἐνιαυτοῦ τῶν ἀποδεδομένων κομίσασθαι μὴ δυναμένων, ἀλλ᾽ εἰσ ἅπαν ἐφῆκεν αὐτὰσ λυτροῦσθαι, καθάπερ καὶ τοῖσ ἀπὸ τοῦ ἔθνουσ τὰσ ἐπαύλεισ αἷσ ἰσοδυναμοῦσιν· ἐπειδὴ μόνασ ἐκ τοσαύτησ χώρασ διεκληρώσαντο τὰσ οἰκίασ, ὧν οὐκ ᾤετο δεῖν στερεῖσθαι τοὺσ λαβόντασ, καθάπερ οὐδὲ τοὺσ κληρούχουσ τῶν ἐπαύλεων. οἰκιῶν μὲν δὴ πέρι τοσαῦτα.

ΠΕΡΙ ΔΑΝΕΙϹΤΩΝ ΚΑΙ ΘΕΡΑΠΟΝΤΩΝ ΟΜΟΕΘΝΩΝ.

Τὰ δὲ πρὸσ χρεώστασ δανειστῶν καὶ πρὸσ θεράποντασ δεσποτῶν ὅμοια τοῖσ πρόσθεν νενομοθέτηται, ὅπωσ οἱ μὲν δανεισταὶ μὴ ἐκλέγωσι τόκουσ παρὰ τῶν ὁμοεθνῶν, ἀλλ᾽ ὅσον προήκαντο μόνον

4 Hic titulus in codice per errorem manifestum capiti quod sequitur adscriptus est.

8 η′ δὲ καὶ μ′ Laur., edd. ὀκτὼ δ. κ. τεσσαράκοντα

9 cf. Num. 35, 5 sq.

10 οἰκίασ: cod. Hoesch. οἰκίαισ. Ibidem εἴσω τειχῶν Laur. pro τειχ. εἴσω et ἀποδεδομένων pro ἀποδιδομ.

13 καὶ τοῖσ ἀπὸ Laur. pro καὶ τὰσ ἀπὸ, quod omnes repetierunt. Ibidem αἷσ: Laur. καὶ

14 ἐκτὸσ αὐτῆσ Laur. pro ἐκ τοσαύτησ

15 λαβόντασ Laur. pro λαμβάνοντασ

18 Titulus capiti quod praecedit appositus est. Cf. v. 4.

21 νενομοθέτηται: Laur. νομοθετεῖται

ἄσμενοι κομίζωνται, οἱ δὲ δεσπόται τοῖσ ἀργυρωνήτοισ μὴ ὡσ φύσει δούλοισ ἀλλ' ὡσ μισθωτοῖσ προσφέρωνται, παρέχοντεσ ἄδειαν ἐλευθερίασ, εὐθὺσ μὲν τοῖσ ὑπὲρ αὐτῶν λύτρα κατατιθέναι δυναμένοισ, αὖθισ δὲ τοῖσ ἀπόροισ, ἢ ὅταν ἐπιγένηται ὁ ἀπ' ἀρχῆσ δουλείασ ἕβδομοσ ἐνιαυτὸσ ἢ ὅταν ὁ πεντηκοστόσ, κἂν πρὸ μιᾶσ ἡμέρασ τύχῃ τισ εἰσ δουλείαν ὑπαχθείσ. ἄφεσισ γὰρ ὁ χρόνοσ ἐκεῖνοσ ἔστι τε καὶ νενόμισται, πάντων ἐπὶ τὰσ ἀρχαίασ διαυλοδρομούντων καὶ ἀνακαμπτόντων εὐπραγίασ. ἐπιτρέπει δ' ἐκ τῶν μὴ ὁμοφύλων [οἵτινεσ ἐξ ἑτέρων ἐθνῶν εἰσίν] οἰκέτασ κτᾶσθαι, βουλόμενοσ πρῶτον μὲν διαφορὰν οἰκείων τε καὶ ἀλλοτρίων εἶναι, ἔπειτα δὲ μὴ κατὰ τὸ παντελὲσ ἀναγκαιότατον κτῆμα θεράποντασ ἀνεῖρξαι τῆσ αὐτοῦ πολιτείασ· μυρία γὰρ τῶν ἐν τῷ βίῳ πραγμάτων ποθεῖ τὰσ ἐκ δούλων ὑπηρεσίασ.

ΠΕΡΙ ΚΛΗΡΩΝ ΔΙΑΔΟΧΩΝ.

Υἱοὶ κληρονόμοι γονέων ἔστωσαν, εἰ δὲ μὴ εἶεν, θυγατέρεσ. ὡσ γὰρ ἐν τῇ φύσει γυναικῶν ἄνδρεσ πρωτοστατοῦσι, κἂν ταῖσ συγγενείαισ ἐχέτωσαν προνομίαν, διαδεχόμενοι τὰσ οὐσίασ καὶ τὴν τῶν τετελευτηκότων τάξιν ἐκπληροῦντεσ, ἀνάγκησ νόμῳ κατασχεθέντεσ οὐδὲν θνητὸν γηγενὲσ ἀθανατίζοντι.

---

1 κομίζωνται Laur., Hoesch. κομίζονται (Mang. ex errore typorum νομίζωντ.)

3 κατατιθέναι Laur. pro καταθεῖναι

4 ἐπιγένηται Laur. pro ἐπιγίνηται (ipse cod. ἐπιγένηται). Idem rectissime ὁ ἀπ' ἀρχῆσ pro ὁ τῆσ ἀπ' ἀρχῆσ

5 τύχῃ: Laur. τύχοι

6 ὁ χρόνοσ ἐκεῖνοσ Laur. Edd. ὁ χρόνοσ om. Paullo post Laur. τε om.

7 ἐπὶ τὰσ ἀρχαίασ et εὐπραγίασ Laur. pro ἐπὶ ταῖσ ἀρχαίαισ et εὐπραγίαισ

8 Verba, quae uncis circumdedimus, confirmata quidem codice Laurentiano, a Philone videntur aliena.

9 Male Laur. κτᾶσθαι βουλομένοισ· πρῶτον, item οἰκειότατον pro ἀναγκαιότατον

14 Caput 19. ineditum.

18 super νόμῳ in cod. notatur νόμον

19 ἀθανατίζοντι: codex ἀθανατίζον

ΠΕΡΙ ΠΑΡΘΕΝΩΝ ΑΠΟΛΕΙΦΘΕΙΣΩΝ ΑΝΕΚΔΟΤΩΝ.

Παρθένοι δὲ ἐὰν ἀπολειφθῶσιν ἀνέκδοτοι, προικὸσ ὑπὸ ζώντων ἔτι τῶν γονέων μὴ διωρισμένησ, ἰσομοιρείτωσαν τοῖσ ἄρρεσιν· ἐπιμελείσθω δ' ἡ προεστῶσα ἀρχὴ φυλακῆσ τε τῶν ἀπολειφθέντων καὶ αὐξήσεωσ καὶ τῶν εἰσ δίαιταν καὶ παιδείαν τὴν ἁρμόττουσαν κόραισ ἀναλωμάτων, καὶ ὁπότε γένοιτο ὡραία, καὶ γάμου τοῦ πρέποντοσ, ἀνδρῶν μὲν ἅπασι δοκίμων ἀριστίνδην ἐπικριθέντων. ἔστωσαν δ' οὗτοι μάλιστα μὲν συγγενεῖσ, εἰ δὲ μή, πάντωσ γοῦν δημόται καὶ φυλέται, χάριν τοῦ μὴ τοὺσ κλήρουσ τοὺσ προικιδίουσ ἐπιγαμίαισ ἀλλοτριοῦσθαι, μένειν δ' ἐν ταῖσ ἐξ ἀρχῆσ τεταγμέναισ κατὰ φυλὰσ λήξεσιν. ἐὰν δὲ γενεᾶσ ἔρημοσ ὢν τυγχάνῃ, παρίτωσαν ἐπὶ τὴν διαδοχὴν ἀδελφοὶ τῶν τετελευτηκότων· ἡ γὰρ μεθ' υἱοὺσ καὶ θυγατέρασ ἐν συγγενείαισ τάξισ ἀδελφῶν ἐστίν· εἰ δὲ ἀνάδελφόσ τισ εἴη τελευτῶν, θεῖοι πρὸσ πατρὸσ διαδεχέσθωσαν τὴν οὐσίαν, θείων δὲ μὴ ὄντων θεῖαι, τῶν ἄλλων οἰκείων καὶ συγγενῶν ἐγγυτέρω. σπάνισ δ' εἰ καταλάβῃ τὴν συγγένειαν ὡσ μηδένα τῶν ἀφ' αἵματοσ ἀπολειφθῆναι, ἡ φυλὴ κληρονόμοσ ἔστω· συγγένεια γάρ τίσ ἐστι καὶ ἡ φυλὴ κατὰ περιγραφὴν μείζονα καὶ τελειοτέραν. ἄξιον μέντοι τὸ διαπορηθὲν ὑπ' ἐνίων ἡσυχασθῆναι. διατί γάρ, φασί, πάντων συγγενῶν καὶ δημοτῶν καὶ φυλετῶν ἐπιμνησθεὶσ ὁ νόμοσ ἐν ταῖσ τῶν κλήρων διαδοχαῖσ γονεῖσ μόνουσ παρεσιώπησεν, οὓσ εἰκὸσ ἦν, ὥσπερ κληρονομοῦνται, κληρονομεῖν τὰ παιδίων; ὅτι, ὦ γενναῖε, θεῖοσ ὢν καὶ τὴν τῆσ φύσεωσ ἀκολουθίαν αἰεὶ σκοπῶν οὐδὲν ᾠήθη χρῆναι παλίμφημον εἰσηγεῖσθαι. γονέων μὲν γὰρ εὐχαί, ζῶντασ ἀπολιπεῖν οὓσ ἐγέννησαν, διαδεξαμένουσ ὄνομά τε αὐτῶν καὶ γένοσ καὶ οὐσίαν, ἐχθρῶν δὲ ἀμειλίκτων ἀραὶ τἀναντία, προαποθνήσκειν υἱοὺσ καὶ θυγατέρασ τῶν φυσάντων. ὅπωσ οὖν μηδὲν ἀνάρμοστον καὶ ἀσύμφωνον ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ, καθ' ἣν διοικεῖται σύμπασ ὁ κόσμοσ, διαγορεύῃ, παίδων μὲν ἀποθνησκόντων,

---

2 Caput 20. ineditum.
10 προικιδίουσ: in codice scriptum est πρὸσ ἰδίουσ
16 καταλάβῃ τὴν etc.: praestat, opinor, καταλάβοι τῆσ συγγενείασ.

γονέων δ' ἐπιβιούντων, ἀναγκαίωσ ἅμα καὶ πρεπόντωσ οὐ προσέταξε μητέρασ ἅμα καὶ πατέρασ τὰ υἱῶν καὶ θυγατέρων κληρονομεῖν, εἰδὼσ μὴ συνᾷδον τὸ πρᾶγμα βίῳ τε καὶ φύσει. φυλαξάμενοσ οὖν γυμνοῖσ ὀνόμασι καλέσαι γονεῖσ ἐπὶ παίδων τετελευτηκότων κλῆρον, ὑπὲρ τοῦ μὴ δοκεῖν ἀπευκτὴν ὠφέλειαν προσνέμων ὀνειδίζειν ἢ ὑπομιμνήσκειν πενθοῦσι κακοπραγιῶν, ἑτέρῳ τρόπῳ τὰσ οὐσίασ ἀπένειμεν αὐτοῖσ, βραχὺ παρηγόρημα μεγάλου κακοῦ. τίσ οὖν ὁ τρόποσ; ἀδελφὸν πατρὸσ γράφει κληρονόμον ἀδελφιδῶν, ἤπου διὰ τὸν πατέρα τὸν θεῖον γεραίρων, εἰ μή τισ οὕτωσ ἠλίθιόσ ἐστιν ὥσ ὑπολαμβάνειν ὅτι ἕτερον τιμῶν ἑτέρου χάριν ἀτιμοῦν ἐκεῖνον προαιρεῖται· μὴ καὶ τοὺσ τῶν φίλων γνωρίμουσ οἱ περιέποντεσ ἀμελεῖσ τῶν ἑτέρων εἰσίν, εἰ πάντων εὐνοϊκώτατοι κηδεμόνεσ τούτων ἐπὶ τιμῇ καὶ ἑτέρουσ ἀποδέχονται. τ`ν αὐτὸν δὴ τρόπον καὶ ὁ νόμοσ διὰ πατέρα καλέσασ ἀδελφὸν πατρὸσ ἐπὶ μετουσίαν κλήρου πολὺ πρότερον πατέρα καλεῖ, φωνῇ μὲν οὔ, διὰ τὰ λεχθέντα, γνωριμωτέρᾳ δὲ φωνῆσ δυνάμει τρανούσῃ τὸ βούλημα τοῦ νομοθέτου.

ΠΕΡΙ ΚΛΗΡΟΝΟΜΙΑΣ ΠΡΩΤΟΤΟΚΟΥ ΥΙΟΥ.

Παίδων ὁ πρεσβύτατοσ οὐκ ἰσομοιρεῖ τοῖσ μετ' αὐτόν, ἀλλὰ διπλασίων ἀξιοῦται, διότι τε ἀνὴρ καὶ γυνὴ πρότερον ὑπάρχοντεσ αὖθισ ἐγένοντο πατὴρ καὶ μήτηρ διὰ τὸν φύντα πρῶτον, καὶ ἐπειδὴ ὁ γενόμενοσ τούτοισ ἀνακαλεῖν ἤρξατο τοῖσ ὀνόμασι τοὺσ σπείραντασ, καὶ τὸ ἀναγκαιότατον, ὅτι ὁ πρὸ τοῦ γενεᾶσ ἔρημοσ οἶκοσ εὔπαισ ἐγένετο πρὸσ τὴν τοῦ γένουσ τῶν ἀνθρώπων διανομήν, ἧσ σπορὰ μὲν γάμοσ, καρποὶ δὲ τέκνων γενέσεισ, ὧν ὁ πρεσβύτατοσ ἀρχή. διὰ ταύτην γ' οἶμαι τὴν αἰτίαν οἱ πρωτότοκοι τῶν μὲν ἄσπονδα εἰργασμένων ἐχθρῶν, ὡσ αἱ ἱεραὶ γραφαὶ δηλοῦσι, μιᾷ νυκτὶ πάντεσ ἥβηδὸν

---

8 γράφει: ita correximus. Codex γράφειν habet.

9 sq. ἕτερον τιμῶν: suprascriptum est ἑτέρω τιμὴν

11 sq. εἰ πάντων et κηδεμόνεσ τούτων: codex ἢ πάντων et κηδεμόνεσ τῶν

18 Caput 21. ineditum.

ἀνῃρέθησαν, τῶν δ' ἀπὸ τοῦ ἔθνουσ χαριστήριον ἀνετέθησαν θεῷ καθιερωθέντεσ. ἔδει γὰρ τοὺσ μὲν βαρυτάτῳ καὶ ἀπαρηγορήτῳ πένθει βαρύναι φθορᾷ τῶν πρωτοστατούντων, γεραίρειν δὲ τὸν σωτῆρα θεὸν ἀπαρχαῖσ, αἳ τὴν ἐν τέκνοισ ἡγεμονίαν ἔλαχον. ἐπεὶ δ' εἰσί τινεσ οἳ μετὰ γάμον καὶ παιδοποιίαν ὀψὲ σωφροσύνην ἀπομαθόντεσ ἐξώκειλαν εἰσ ἀκρασίαν καὶ ἐπιμανέντεσ γυναιξὶν ἑτέραισ τὰσ προτέρασ ἐκάκωσαν καὶ τοῖσ ἐξ ἐκείνων οὐκέθ' ὡσ πατέρεσ ἀλλ' ὡσ πατρωοὶ προσηνέχθησαν, ἀπομιμησάμενοι τὸ μητρυιῶν εἰσ προγόνουσ δυσσεβέσ, καὶ ὅλωσ ἑαυτοὺσ καὶ τὰ ἑαυτῶν ἐξέδωκαν ταῖσ δευτέραισ καὶ παισὶ τοῖσ τούτων, ἡδονῆσ αἰσχίστου πάθουσ ἥττουσ γενόμενοι, χαλινὸν μὲν εἴ πωσ οἷόν τε ἦν ἐμβαλεῖν ταῖσ ἐπιθυμίαισ ὑπὲρ τοῦ μὴ ἀνασκιρτᾶν ἐπιπλέον οὐκ ἀπημέλησεν ὁ νόμοσ. ἐπεὶ δὲ μανίαν ἐξηγριωμένην οἴστρῳ χαλεπόν, μᾶλλον δ' ἀδύνατον ἰάσασθαι, τὸν μὲν ὡσ ἀθεραπεύτῳ νόσῳ κατεσχημένον ἀπέλιπε, τὸν δ' ἐκ τῆσ διὰ τοὺσ νέουσ ἔρωτασ κακωθείσησ υἱὸν οὐχ ὑπερεῖδε, κελεύσασ αὐτὸν λαμβάνειν διπλάσια τὰ ἐκ τῆσ πρὸσ τοὺσ ἀδελφοὺσ διανομῆσ. αἴτια δὲ τούτου πολλά. πρῶτον μὲν γὰρ κολάζει τὸν ὑπαίτιον, ἀνάγκην ἐπιθεὶσ αὐτῷ ποιεῖν εὖ ὃν κακῶσ διατιθέναι προαιρεῖται, καὶ τῆσ ἀγνώμονοσ γνώμησ ἄκυρον ἀποφαίνει δι' ὧν ὠφελεῖ τὸν κινδυνεύσαντα πρὸσ ἐκείνου ζημιωθῆναι, τάττων αὐτὸν ἐν τῇ τάξει τοῦ γεγεννηκότοσ, ἣν ὁ φύσει πατὴρ ἐπὶ πρεσβυτάτου παιδὸσ ἔλιπε. δεύτερον δὲ ἔλεον καὶ οἶκτον λαμβάνει τῶν ἠδικημένων, οὓσ βαρυτάτησ ἀνίασ ἐπικουφίζει μετουσία χάριτοσ καὶ δωρεᾶσ· οὐδὲν γὰρ ἧττον τοῦ κληρονομοῦντοσ υἱοῦ τὴν διπλασίαν μοῖραν εἰκὸσ ἦν ἥδεσθαι τὴν μητέρα, φιλανθρωπίᾳ νόμου παρηγορηθεῖσαν, ὃσ οὐκ εἴασεν αὐτήν τε καὶ

---

10 τοῖσ τούτων: codex τῆσ τούτων

12 ἀπημέλησεν: codex ἂν ἐμέλησεν

14 κατεσχημένον: in codice est κατισχημένον

19 sq. πρὸσ ἐκείνου pro πρὸσ ἐκεῖνο, quod in codice est, substituimus

22 sq. ἐπικουφίζει: codicis scriptura corrupta est. Litterae ἐπ.. αφρίζει apertae sunt, quid vero inter ἐπ et αφ scriptum sit dictu difficile. Fere est ιζ vel β.

25 φιλανθρωπίᾳ νόμου: in codice scriptum est φιλανθρωπίαν ὁμοῦ

γενεὰν εἰσάπαν ἐχθρῶν ἐλαττοῦσθαι. τρίτον δὲ βραβευτὴσ ὢν τῶν δικαίων ἀγαθὸσ ἐλογίσατο παρ' ἑαυτῷ ὅτι τοῖσ μὲν ἐκ τῆσ στεργομένησ ἐπεδαψιλεύσατο τὰσ χορηγίασ ὁ πατὴρ διὰ τὸν πόθον τῆσ γυναικόσ, τοὺσ δ' ἐκ τῆσ στυγηθείσησ οὐδενὸσ παντάπασιν ἠξίωσε διὰ τὸ τῆσ μητρὸσ ἔχθοσ, ὡσ ἐκείνουσ μὲν ἔτι ζῶντοσ προκεκληρονομηκέναι πλείω τῆσ ἰσομοιρίασ, τούτουσ δὲ κινδυνεῦσαι καὶ τελευτήσαντοσ ἁπάντων ἀφαιρεθῆναι τῶν πατρῴων. ἵν' οὖν ἐπανισώσῃ τὴν διανομὴν τοῖσ ἐξ ἀμφοτέρων τῶν γυναικῶν, ὥρισε διμοιρίαν τὰ πρεσβεῖα τῷ τῆσ ἀπηλλαγμένησ παιδί. τούτων μὲν δὴ ἅλισ.

ΕΟΡΤΗ ΝΟΥΜΗΝΙΑΣ ΚΑΤΑ ΣΕΛΗΝΗΝ.

Ἑπόμενοι δὲ τῇ τάξει τρίτον εἶδοσ ἀναγράφομεν ἑορτῆσ, ὃ σημανοῦμεν. ἔστι δὲ νουμηνία κατὰ σελήνην, χρόνοσ ὁ ἀπὸ συνόδου ἐπὶ σύνοδον, ὃν μαθηματικῶν παῖδεσ εὖ μάλα διηριθμήσαντο. τὴν δ' ἐν ἑορταῖσ ἔλαχε τάξιν νουμηνία διὰ πολλά. πρῶτον μὲν ὅτι ἀρχὴ μηνόσ, ἀρχὴ δὲ καὶ ἀριθμοῦ καὶ χρόνου τίμιον. ἔπειτα δ' ὅτι κατὰ ταύτην οὐδὲν ἀφώτιστον ἐν οὐρανῷ· συνόδῳ μὲν γὰρ ἂν ὑποδραμοῦσα ἥλιον σελήνη προσήμεροσ ἐξόφωται, νουμηνίᾳ δὲ πέφυκεν ἀναλάμπειν. τρίτον ὅτι τῷ ἐλάττονι καὶ ἀσθενεστέρῳ κατ' ἐκεῖνον τὸν χρόνον τὸ κρεῖττον καὶ δυνατώτερον ὠφελείασ ἀναγκαίασ μεταδίδωσι· νουμηνίᾳ γὰρ ἄρχεται ἥλιοσ φωτίζειν αἰσθητῷ φέγγει, σελήνη δὲ τὸ ἴδιον κάλλοσ ἀναφαίνει τοῖσ ὁρῶσι. τοῦτο δ' ἐναργήσ ἐστιν ὡσ ἔοικε διδασκαλία χρηστότητοσ καὶ φιλανθρωπίασ, ἵνα μηδέποτε τῶν ἰδίων ἀγα-

---

4 οὐδενὸσ παντάπασιν: codex οὐδ. ἢ παντάπ.

11 Capitis 22. paucissima iam antea edita erant.

12—15 ἑπόμενοι — διὰ πολλά: ex his iam edita haec erant: ἑπόμενοι δὲ τῇ τάξει τρίτην ἑορτὴν ἀναγράφομεν, τὴν κατὰ σελήνησ νουμηνίαν.

15 sq. πρῶτον — τίμιον: haec iam ab Hoesch. edita.

16—18 ἔπειτα δ'— ἀναλάμπειν: ex his editum erat: ἔπειτα δὲ ὅτι κατ' αὐτὴν οὐδὲν ἀφώτιστον ἐν οὐρανῷ.

17 μὲν γὰρ ἂν: ἂν vix recte scriptum est.

19—20 τρίτον — μεταδίδωσι: edd. τρίτον δὲ ὅτι — μεταδίδωσι.

20—2 νουμηνίᾳ — ἐλαύνωσι: edd. νουμηνίᾳ γὰρ ἄρχεται φωτίζειν αἰ-

θῶν ἄνθρωποι φθονῶσιν, ἀλλὰ μιμούμενοι τὰσ ἐν οὐρανῷ μακαρίασ καὶ εὐδαίμονασ φύσεισ ὑπερόριον ψυχῆσ βασκανίαν ἐλαύνωσι καὶ προφέροντεσ εἰσ μέσον τὰ οἰκεῖα κοινοπραγῶσι καὶ χαρίζωνται τοῖσ ἀξίοισ. τέταρτον δ' ὅτι τῶν κατ' οὐρανὸν ἁπάντων ἐν ἐλάττονι προθεσμίᾳ σελήνη τὸν ζωοφόρον περιπολεῖ· μηνιαίῳ γὰρ διαστήματι τὸν κύκλον ἀνύτει. διὸ καὶ τὸ συμπέρασμα τῆσ περιόδου, τελευτῶν ἐπὶ τὴν ἀρχὴν ἀφ' οὗ ἤρξατο φέρεσθαι σελήνη, τετίμηκεν ὁ νόμοσ, προσειπὼν ἐκείνην τὴν ἡμέραν ἑορτήν, ὑπὲρ τοῦ πάλιν ἡμᾶσ ἀναδιδάξαι μάθημα κάλλιστον, ἵν' ἐν ταῖσ τοῦ βίου πράξεσι τὰ τέλη συνῳδὰ ταῖσ ἀρχαῖσ ἀποφαίνωμεν. γενήσεται δὲ τοῦτ' ἐὰν λογισμῷ τὰσ πρώτασ ἡνιοχῶμεν ὁρμάσ, μὴ ἐπιτρέποντεσ αὐταῖσ ἀφηνιάζειν καὶ ἀνασκιρτᾶν τρόπον θρεμμάτων ἀγελάρχην οὐκ ἐχόντων. ἃσ δὲ παρέχεται τοῖσ ἐπὶ γῆσ ἅπασιν ὠφελείασ σελήνη, τί χρὴ διεξιόντα μηκύνειν; ἐμφανεῖσ γὰρ αἱ πίστεισ. ἢ οὐχὶ ταῖσ αὐξήσεσιν αὐτῆσ ἀναχέονται ποταμοὶ καὶ πηγαί, καὶ μειοῦνται πάλιν μειώσεσι, καὶ πελάγη τότε μὲν ἐξαναχωρεῖ καὶ ἀμπωτίζοντα ὑποσύρεται, τότε δ' ἐξαπιναίωσ ἐπιτρέχει κατὰ παλίρροιαν, ὅ τε ἀὴρ αἰθρίαισ καὶ νεφώσεσι καὶ ταῖσ ἄλλαισ μεταβολαῖσ παντοίασ ἐνδέχεται τροπάσ, καρποί τε οἱ σπαρτοὶ καὶ δένδρων αὔξονται καὶ τελεσφοροῦνται σελήνησ περιόδοισ τιθηνουμένησ ἕκαστα τῶν φυομένων καὶ πεπαινούσησ ἐν δρόσοισ καὶ μαλακωτάταισ αὔραισ; ἀλλ' οὐχὶ καιρὸσ ὅπερ ἔφην μακρηγορεῖν, ἔπαινον σελήνησ διεξιόντα καὶ καταριθμούμενον ἃσ παρέχεται ζώοισ καὶ τοῖσ ἐπὶ γῆσ ἅπασιν ὠφελείασ. διὰ μὲν δὴ ταῦτα καὶ τὰ τού-

---

σθητῷ φέγγει σελήνην ἥλιοσ, ἡ δὲ τὸ ἴδιον κάλλοσ ἀναφαίνει (Mang. forsan ἀναφαίνειν) τοῖσ ὁρῶσι. τοῦτο δὲ ἐναργὲσ ὡσ ἔοικεν ἐστὶ διδασκαλία—μιμούμενοι τὰσ ἐν οὐρανῷ φύσεισ, ὑπερόριον τῆσ ψυχῆσ καὶ (Mang. deleri voluit) βασκανίαν ἐλαύνωσι.

2 sqq. Inde a verbis καὶ προφέροντεσ εἰσ μέσον usque ad finem capitis (τὴν ἐν ταῖσ ἑορταῖσ) omnia desiderabantur.

6 ἀνύτει: sic invito codice edidimus, qui ἀνύττει tuetur. Contra quam scripturam haud infrequentem in Steph. Thes. disputatur.

6 τελευτῶν: ita pro τελευτῶντοσ, quod in codice est, scripsimus, sed nec ipsum placet

20 τιθηνουμένησ: codex τιθηνομένησ

τοισ παραπλήσια νουμηνία τετίμηται καὶ τάξιν ἔλαχε τὴν ἐν ταῖσ ἑορταῖσ.

ΕΟΡΤΗ ΔΙΑΒΑΤΗΡΙΩΝ.

Μετὰ δὲ τὴν νουμηνίαν ἔστιν ἑορτὴ τετάρτη, τὰ διαβατήρια, ἣν Ἑβραῖοι πάσχα πατρίῳ γλώττῃ καλοῦσιν, ἐν ᾗ θύουσι πανδημὶ πολλὰσ μυριάδασ ἱερείων, ἀρξάμενοι ἀπὸ μεσημβρίασ ἄχρι ἑσπέρασ ὁ λεὼσ ἅπασ, πρεσβύται καὶ νέοι, κατ᾽ ἐκείνην τὴν ἡμέραν ἱερωσύνησ ἀξιώματι τετιμημένοι. τὸν γὰρ ἄλλον χρόνον οἱ ἱερεῖσ τάσ τε κοινὰσ θυσίασ καὶ τὰσ ἰδίασ ἑκάστου προστάξει νόμων ἐπιτελοῦσι, τότε δὲ σύμπαν τὸ ἔθνοσ μετὰ πάσησ ἀδείασ ἁγναῖσ χερσὶν ἱερουργεῖται καὶ ἱερᾶται. αἴτιον δὲ τόδε. τῆσ μεγίστησ ἀποικίασ ὑπόμνημά ἐστιν ἡ ἑορτὴ καὶ χαριστήριον, ἣν ἀπ᾽ Αἰγύπτου μυριάσιν ὑπὲρ διακοσίαισ ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἐστείλαντο κατὰ τὰ χρησθέντα λόγια. τότ᾽ οὖν, ὡσ εἰκόσ, ἀπολελοιπότεσ χώραν γέμουσαν ἀπανθρωπίασ καὶ ξενηλασίασ ἐπιτηδεύουσαν, καὶ τὸ χαλεπώτατον τὰσ τοῦ θεοῦ τιμὰσ ἀλόγοισ ζώοισ οὐχ ἡμέροισ μόνον ἀλλὰ καὶ ἀγρίοισ προσνέμουσαν, ὑπὸ τῆσ ἄγαν περιχαρείασ ἔθυον αὐτοὶ διὰ προθυμίαν ἄλεκτον καὶ ἐσπευσμένωσ, τοὺσ ἱερεῖσ οὐκ ἀναμένοντεσ. τοῦτο δὴ τότε πραχθὲν αὐτοκελεύστῳ καὶ ἐθελουργῷ πάθει δρᾶν ἐφῆκεν ὁ νόμοσ ἅπαξ εἰσ

---

3 Caput 23. partim iam editum.

4 sqq. Edd. sic: μετὰ δὲ νουμηνίαν ἐστὶν ἑορτὴ τετάρτη τὰ διαβ., ἣν οἱ Ἑβρ. πάσχα καλοῦσιν, ἐν ᾗ θύουσι πανδημεὶ (Laur. πανδημί, quod retinendum videbatur) ἀρξάμενοι κατὰ (Mang. „omnino μετὰ") μεσημβρίαν ἕωσ ἑσπέρασ. Quae sequuntur inde a verbis ὁ λεὼσ ἅπασ usque ἱερουργεῖτ. καὶ ἱερᾶται, nondum edita erant.

11—18 αἴτιον δὲ — ἀναμένοντεσ. Edd. sic: ὑπομνητικὴ τῆσ μεγίστησ ἀποικίασ ἐστὶν ἡ ἑορτὴ καὶ χαριστήριοσ, ἣν ἀπ᾽ Αἰγ. μυριάσι πολλαῖσ ἐστείλαντο κατ. τ. χρ. λόγ. τότε οὖν, ὡσ εἰκόσ—ἀλόγοισ ζώοισ προσνέμουσαν, ὑπὸ τῆσ ἄγαν περιχαρείασ ἔθυον, ἱερεῖσ οὐκ ἀναμένοντεσ.

13 ἐστείλαντο: Laur. ἐστείλατο

17 ἄλεκτον, quae vox etiam alibi apud Philonem legitur, non cum ἄληκτον commutandum videbatur. Pro καὶ ἐσπευσμένωσ in codice est καὶ τὸ τάχοσ ἐσπευσμένωσ. Exclusimus τὸ τάχοσ, quod aliena manu ad ἐσπ. notatum videtur.

18 sqq. τοῦτο δὴ — ἀναχαιτίζοι τὴν φοράν: Edd. sic: τὸ δὲ τότε

ἐνιαυτὸν ἕκαστον εἰσ εὐχαριστίασ ὑπόμνησιν. ταῦτα μὲν κατὰ παλαιὰν ἀρχαιολογίαν ἱστορεῖται. οἷσ δὲ τὰ ῥητὰ τρέπειν ἔθοσ εἰσ ἀλληγορίαν, ψυχῆσ κάθαρσιν αἰνίττονται τὰ διαβατήρια· φασὶ γὰρ τὸν σοφίασ ἐραστὴν οὐδὲν ἕτερον ἐπιτηδεύειν ἢ τὴν ἀπὸ τοῦ σώματοσ καὶ τῶν παθῶν διάβασιν, ὧν ἕκαστον ἐπικλύζει χειμάρρου ποταμοῦ τρόπον, εἰ μή τισ τοῖσ ἀρετῆσ δόγμασιν ἀνακόπτοι καὶ ἀναχαιτίζοι τὴν φοράν. ἑκάστη δ' οἰκία κατ' ἐκεῖνον τὸν χρόνον σχῆμα ἱεροῦ καὶ σεμνότητα περιβέβληται, τοῦ σφαγιασθέντοσ ἱερείου πρὸσ ἁρμόττουσαν εὐωχίαν εὐτρεπιζομένου καὶ τῶν ἐπὶ τὰ συσσίτια συνειλεγμένων ἁγνευτικοῖσ περιρραντηρίοισ κεκαθαρμένων· οἳ παραγεγόνασιν, οὐχ ὡσ εἰσ τὰ ἄλλα συμπόσια, χαριούμενοι γαστρὶ δι' οἴνου καὶ ἐδεσμάτων, ἀλλὰ πάτριον ἔθοσ ἐκπληροῦντεσ μετ' εὐχῶν τε καὶ ὕμνων. ἄξιον μέντοι καὶ τὴν ἡμέραν παρασημήνασθαι τῆσ πανδήμου εὐωχίασ· ἄγεται γὰρ τεσσαρεσκαιδεκάτῃ μηνόσ, ἥτισ ἐκ δυοῖν ἑβδομάδοιν συνέστηκεν, ἵνα μηδὲν ἀμοιρῇ τῶν ἀξίων τιμῆσ ἑβδομάδοσ, ἀλλ' αὐτὴ κατάρχῃ πᾶσιν ἐπιφανείασ καὶ σεμνότητοσ.

ΕΟΡΤΗ ΑΖΥΜΩΝ.

Συνάπτει δὲ τοῖσ διαβατηρίοισ ἑορτὴν διάφορον ἔχουσαν καὶ οὐ συνήθη τῆσ τροφῆσ χρῆσιν, ἄζυμα, ἀφ' οὗ καὶ ὠνόμασται. διττὸσ

πραχθὲν δρᾶν ἐφῆκεν ὁ νόμοσ ἅπαξ κατ' ἐνιαυτὸν ἕκαστον — κατὰ παλαιὰν ἀλληγορίαν (Mang. „repone ῥῆσιν") ἱστορεῖται. οἷσ δὲ τὰ ῥητὰ τρέπειν πρὸσ αλληγορίαν ἔθοσ, ψυχῆσ κάθαρσιν αἰνίττεται τὰ διαβατήρια. φασὶ γὰρ—παθῶν διάβασιν. Reliqua desiderantur.

1 sq. παλαιὰν ἀρχαιολογίαν: ita codex.

7—11 ἑκάστη δ' οἰκία — καὶ ὕμνων (in his ex cod. Hoesch. recepimus συσσίτια pro σιτία, quod Laur. praebet, item verba ἁγνευτ. περιρρ. κεκαθαρμ., quae Laur. om.): edd. ἑκάστη δὲ οἰκία — πρὸσ τὴν ἁρμόττουσαν — ἀλλὰ πάτρ. ἔθ. ἐκπληρώσοντεσ μετ' εὐχῆσ τε καὶ ὕμνων.

12—15 ἄξιον μέντοι — σεμνότητοσ: edd. ἄγεται δὲ ἡ πάνδημοσ θυσία τεσσαρεσκαιδεκάτῃ τοῦ μηνόσ, ἥτισ ἐκ δυοῖν ἑβδομάδων συνέστηκεν — ἀλλ' αὐτὴ κατάρχει (Mang. -χῃ) πᾶσιν ἐπιφ. κ. σεμν.

18 Cap. 24. Nonnihil iam editum.

19 sqq. συνάπτει δὲ—ἐδημιουργεῖτο: edd. συνάπτει δὲ τοῖσ διαβ. ἑορτή, διάφορον ἔχουσα καὶ οὐ—διττὸσ δὲ περὶ αὐτῆσ λόγοσ· ὁ μὲν ἴδιοσ τοῦ ἔθν.—ὡσ

δὲ ὁ περὶ αὐτῆσ λόγοσ· ὁ μὲν εἷσ τοῦ ἔθνουσ ἕνεκα τῆσ λεχθείσησ ἀποικίασ, ὁ δὲ κοινὸσ κατὰ φύσεωσ ἀκολουθίαν καὶ τὴν τοῦ κόσμου παντὸσ ἁρμονίαν. ὡσ ἀψευδὴσ ἡ ὑπόσχεσισ ἐπισκεπτέον. ἕβδομοσ ὢν ὁ μὴν οὗτοσ ἀριθμῷ τε καὶ τάξει κατὰ τὸν ἡλιακὸν κύκλον δυνάμει πρῶτόσ ἐστι, διότι καὶ πρῶτοσ ἐν ταῖσ ἱεραῖσ βίβλοισ ἀναγέγραπται. αἴτιον δ' ὡσ οἶμαι τόδε. τὴν ἐαρινὴν ἰσημερίαν ἀπεικόνισμά τι καὶ μίμημα συμβέβηκεν εἶναι τῆσ ἀρχῆσ ἐκείνησ, καθ' ἣν ὅδε ὁ κόσμοσ ἐδημιουργεῖτο. τότε γὰρ διακρινομένων τῶν στοιχείων καὶ τὴν ἐναρμόνιον τάξιν λαμβανόντων πρόσ τε αὑτὰ καὶ πρὸσ ἄλληλα διεκοσμεῖτο μὲν ὁ οὐρανὸσ ἡλίῳ καὶ σελήνῃ καὶ ταῖσ τῶν ἄλλων πλανητῶν καὶ ἀπλανῶν ἀστέρων χορείαισ καὶ περιόδοισ, διεκοσμεῖτο δὲ καὶ ἡ γῆ παντοίαισ φυτῶν ἰδέαισ, καὶ ὅση τῆσ ὀρεινῆσ καὶ πεδιάδοσ ἀγαθὴ καὶ βαθεῖα πᾶσα ἐτεθήλει καὶ ἐχλοηφόρει. καθ' ἕκαστον οὖν ἐνιαυτὸν ὑπομιμνήσκων ὁ θεὸσ τῆσ τοῦ κόσμου γενέσεωσ ἀνέφαινε τὸ ἔαρ, ἐν ᾧ πάντα ἀνθεῖ καὶ βλαστάνει. διόπερ οὐκ ἀπὸ σκοποῦ πρῶτοσ ἀναγέγραπται μὴν ἐν τοῖσ νόμοισ, ἐπειδὴ τρόπον τινὰ τῆσ πρώτησ ἀρχῆσ ἐκμαγεῖόν ἐστιν, ἀπ' ἐκείνησ ὥσπερ ἀρχετύπου σφραγῖδοσ τυπωθείσ. ὁ δὲ μετὰ τὴν μετοπωρινὴν ἰσημερίαν τῇ τάξει πρῶτοσ ὢν ἐν ταῖσ ἡλιακαῖσ περιόδοισ οὐ λέγεται παρὰ τῷ νόμῳ πρῶτοσ, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον συγκεκομισμένων τῶν καρπῶν ἁπάντων

δὲ ἀψευδὴσ ἡ ὑπόθεσισ, ἐπισκεπτ. — ἀναγράφεται. αἴτιον δέ, ὥσ γε οἶμαι, τόδε — ἐδημιουργεῖτο.

1 ὁ μὲν εἷσ τοῦ ἔθνουσ: Hoesch. ὁ μὲν ἴδιοσ τοῦ ἔθν. Similiter Philo capite 25., item 28. ineunte. At propter ipsius Philonis usum facile ἴδιοσ pro εἷσ h. l. inferri potuit.

3 ἡ ὑπόσχεσισ: cod. Hoesch. ἡ ὑπόθεσισ

8—13 τότε γὰρ — ἐχλοηφόρει: haec in edd. desiderantur.

11 πλανητῶν: codex πλανήτων

13—18 καθ' ἕκαστον — τυπωθείσ: eadem edd., nisi quod ἀνέφηνε pro ἀνέφαινε habent.

18 sqq. ὁ δὲ μετὰ τὴν — παλίμφημοι φθοραί: haec omnia desiderantur in editis.

18 τῇ τάξει πρῶτοσ: in codice est τῇ τάξει πρώτῃ πρῶτοσ

19 παρὰ τῷ νόμῳ: quum ferri posse videatur, non substituimus παρὰ τοῦ νόμου.

τὰ δένδρα φυλλοροεῖ, καὶ ὅσα ἀκμάζον τὸ ἔαρ ἤνεγκε πάντα ἀφαυαίνεται ξηροῖσ πνεύμασι τοῦ ἀέροσ, αὐχμώδη καταστάντα τοῖσ ἀφ' ἡλίου φλογμοῖσ. πρῶτον μὲν οὖν ἐπιφημίσαι μῆνα, καθ' ὃν ἐστείρωται καὶ ἀγονεῖ ἥ τε ὀρεινὴ καὶ ἡ πεδιάσ, παντάπασι κατέλαβεν ἀνάρμοστον καὶ ἀνοίκειον εἶναι. δεῖ γὰρ τοῖσ πρώτοισ καὶ ἡγεμονίδα τάξιν εἰληχόσι προσεῖναι τὰ κάλλιστα καὶ εὐκταιότατα, δι' ὧν αἱ ζώων καὶ καρπῶν καὶ φυτῶν γενέσεισ καὶ αὐξήσεισ εἰσίν, ἀλλ' οὐχ αἱ παλίμφημοι φθοραί. τῆσ δὲ ἑορτῆσ ἀρχὴ διχόμηνοσ ἡ πεντεκαιδεκάτη, καθ' ἣν σελήνη πλησιφαὴσ γίνεται προνοίᾳ τοῦ μηδὲν εἶναι σκότοσ κατ' ἐκείνην τὴν ἡμέραν, ἀλλὰ φωτὸσ ἀνάπλεα πάντα διὰ πάντων, ἡλίου μὲν ἕωθεν εἰσ ἑσπέραν ἐπιλάμποντοσ, σελήνησ δὲ ἀφ' ἑσπέρασ μέχρισ ἕω καὶ αὐτῆσ, τῶν ἀστέρων ἀλλήλοισ ἀντιπαραχωρούντων ἀσκίοισ φέγγεσιν. ἡ δὲ ἑορτὴ πάλιν ἐφ' ἡμέρασ ζ' ἄγεται δι' ἣν ἔλαχεν ἐν κόσμῳ ὁ ἀριθμὸσ προνομίαν τε καὶ τιμήν, ἵνα μηδὲν τῶν εἰσ εὐθυμίαν καὶ πάνδημον εὐφροσύνην καὶ εὐχαριστίαν τὴν πρὸσ τὸν θεὸν ἀπολείπηται τῆσ ἱερᾶσ ἑβδομάδοσ, ἣν ἀρχὴν καὶ πηγὴν ἀνθρώποισ ἀγαθῶν ἁπάντων εἶναι διενοήθη. τῶν δὲ ἑπτὰ ἡμερῶν δύο, τὴν πρώτην καὶ τὴν ὑστάτην, ἁγίασ προσεῖπεν, ἀρχῇ καὶ τέλει προνομίαν ὡσ εἰκὸσ διδούσ, καὶ ἅμα βουλόμενοσ, καθάπερ ἐν ὀργάνῳ μουσικῷ, συμφωνίαν τῶν ἄκρων τὰσ μεθορίουσ συναρμόσασθαι, τάχα μέντοι

---

1 sq. πάντα ἀφαυαίνεται: codex πάντα ξηραίνεται, ἀφαυαίνεται. Videtur ξηραίνεται explicationis caussa adscriptum esse.

8—13 τῆσ δὲ ἑορτῆσ — ἀσκίοισ φέγγεσιν: edd. τῆσ δὲ ἑορτῆσ διχόμηνοσ ἄρχει ἡ πεντεκαιδεκάτη — ἐκείνην τὴν ἡμέραν. Reliqua desunt.

12 μέχρισ ἕω καὶ αὐτῆσ: reposuimus καὶ αὐτῆσ pro τῆσ αὐτῆσ. Tamen nec sic lectio sana videtur.

13—17 ἡ δὲ ἑορτὴ — διενοήθη: edd. in brevius contracta habent ἡ δὲ ἑορτὴ πάλιν ἐφ' ἡμέρασ ἑπτὰ ἄγεται διὰ τὴν τοῦ ἀριθμοῦ τιμήν, ἵνα μηδὲν τῶν εἰσ εὐθυμίαν καὶ εὐχαριστίαν τ. πρ. τ. θεὸν ἀπολείπηται (Laur. ἀπολίπηται) τ. ἱερᾶσ ἑβδομάδοσ.

17—20 τῶν δὲ ἑπτὰ — συναρμόσασθαι: edd. τῶν δὲ ἑπτὰ — ὡσ εἰκὸσ προνομίαν διδούσ — συμφωνίαν τῶν ἄκρων (deest τὰσ μεθορίουσ) συναρμόσασθαι. Quae vero sequuntur: τάχα μέντοι καὶ usque ad finem capitis, ea omnia desiderantur.

καὶ ὑπὲρ τοῦ τόν τε παρελθόντα καὶ μέλλοντα χρόνον συνῳδὸν ἀποφῆναι τῇ ἑορτῇ, τὸν μὲν παρεληλυθότα συνάπτοντα τῇ πρώτῃ, τὸν δὲ μέλλοντα τῇ τελευταίᾳ, ὧν ἑκατέρα τὴν ἑαυτῆσ καὶ τῆσ ἑτέρασ δύναμιν εἴληχεν. ἥ τε γὰρ πρώτη τῆσ μὲν ἑορτῆσ ἐστὶν ἀρχή, τέλοσ δὲ τοῦ παρεληλυθότοσ χρόνου, ἥ τε ἑβδόμη τέλοσ μὲν τῆσ ἑορτῆσ, ἀρχὴ δὲ τοῦ μέλλοντοσ, ἵν', ὃ καὶ πρόσθεν εἶπον, ἅπασ ὁ τοῦ σπουδαίου βίοσ ἰσότιμοσ ἑορτῇ νομίζηται, λύπην καὶ φόβον καὶ ἐπιθυμίαν καὶ τἄλλα πάθη καὶ νοσήματα τῆσ ψυχῆσ ἐληλακότοσ.

ΔΙΑΤΙ ΑΖΥΜΑ ΕϹΘΙΟΥϹΙΝ.

῾Ο δ' ἄρτοσ ἄζυμοσ ἤτοι διὰ τὸ τοὺσ προγόνουσ, ἡνίκα θείᾳ πομπῇ τὴν ἀποικίαν ἐστέλλοντο, χρωμένουσ ἀνυπερβλήτῳ τάχει τὰ φυράματα τοῦ στέατοσ ἄζυμα ἐπενέγκασθαι, ἢ ἐπειδὴ κατὰ τὸν καιρὸν ἐκεῖνον, λέγω δὴ τὴν ἐαρινὴν ὥραν, ἐν ᾗ συμβαίνει τὴν ἑορτὴν ἄγεσθαι, ὁ τοῦ σίτου καρπὸσ ἀτελήσ ἐστιν τῶν πεδίων σταχυηφορούντων καὶ μήπω καιρὸν ἐχόντων εἰσ ἄμητον, ἀτελεῖ δὴ τῷ μέλλοντι καρπῷ, τελειωθησομένῳ δὲ μικρὸν ὕστερον ἐδικαίωσεν ἐξομοιῶσαι τὴν ἄζυμον τροφήν. ἀτελὴσ γάρ ἐστι καὶ αὐτὴ πρὸσ ἐλπίδοσ ἀγαθῆσ ὑπόμνησιν, ὡσ ἤδη τῆσ φύσεωσ τὰσ ἐτησίουσ εὐτρεπιζομένησ ἀνθρώπων γένει δωρεὰσ ἐν τῇ τῶν ἐπιτηδείων ἀφθονίᾳ καὶ περιουσίᾳ. λέγεται δὲ κἀκεῖνο τοῖσ ἐξηγηταῖσ τῶν ἱερῶν γραμμάτων, ὅτι ἡ μὲν ἄζυμοσ τροφὴ δώρημα φύσεώσ ἐστιν, ἡ δ' ἐζυμωμένη τέχνησ ἔργον.

---

2 sq. τῇ πρώτῃ, τὸν δὲ μέλλοντα: haec verba inter συνάπτοντα et τῇ τελευταίᾳ excidisse videntur, propterea que supplevimus.

12—14 ὁ δ' ἄρτοσ (codex addit ὁ, quod eliminavimus) ἄζυμοσ ἤτοι διὰ τὸ (codex ἤτοι τὸ διὰ) — ἐπενέγκασθαι: edd. brevissime ὁ δ' ἄρτοσ ἄζυμοσ— ἡνίκα θείᾳ πομπῇ ἐστέλλοντο, τὰ ἄζυμα ἐπενέγκασθαι.

14—17 ἢ ἐπειδὴ — εἰσ ἄμητον: eadem edd., nisi quod λέγω δὲ et σταχυφορούντων (Mang. correxit σταχυοφορ.) habent. Pro eis vero quae sequuntur ἀτελεῖ δὴ — ἄζυμον τροφήν, nil habent nisi ἐδικαίωσεν (deesse aliquid iam Mang. vidit) ἐξ ὁμοιώσεωσ τὴν ἄζυμον τροφήν.

19—23 ἀτελὴσ γὰρ — τέχνησ ἔργον: eadem edd. nisi quod habent ἐστὶ καὶ αὐτὴ πρὸσ ἐλπίδα χρηστῆσ ὑπομνήσεωσ, item ἡ μὲν ἄζυμα (retinuere

ἐπιτηδεύσει γὰρ ἄνθρωποι τὰ ἡδέα τοῖσ δικαίοισ ἀναμιγνύναι σπεύδοντεσ τὸ αὐστηρὸν τῇ φύσει προσηνὲσ τέχνῃ κατεσκεύασαν. ἐπεὶ οὖν ἐστὶν ἡ ἐαρινὴ ἑορτή, καθάπερ ἐδίδαξα, τῆσ τοῦ κόσμου γενέσεωσ ὑπόμνημα, τοὺσ δὲ παλαιοτάτουσ γηγενεῖσ τε καὶ ἐκ γηγενῶν ἀναγκαῖον ἦν χρήσασθαι ταῖσ τοῦ κόσμου δωρεαῖσ ἀδιαστρόφοισ μήπω τῆσ ἡδονῆσ παρευημερούσησ, οἰκειοτάτην τροφὴν ἐνομοθέτησε τῷ καιρῷ, βουλόμενοσ ἀνὰ πᾶν ἔτοσ τῆσ σεμνῆσ καὶ αὐστηρᾶσ διαίτησ ἐμπυρεύματα ζωπυρεῖν, καὶ ἅμα τὸν ἀρχαῖον βίον τῆσ ὀλιγοδείασ καὶ εὐτελείασ θαυμάσαι τε καὶ τιμῆσαι πανηγύρεωσ ἐκεχειρίᾳ καὶ τὸν ἡμῶν, καθόσον οἷόν τε ἦν, ἐξομοιῶσαι τῷ παλαιῷ. τὰ λεχθέντα πιστοῦται μάλιστα ἡ τῶν ἰσαρίθμων ταῖσ φυλαῖσ ἐπὶ τῆσ ἱερᾶσ τραπέζησ ἄρτων ιβ΄ πρόθεσισ· εἰσὶ γὰρ πάντεσ ἄζυμοι, δεῖγμα σαφέστατον ἀμιγοῦσ τροφῆσ, οὐ τέχνῃ πρὸσ ἡδονήν, ἀλλὰ φύσει πρὸσ τὸ τῆσ χρήσεωσ ἀναγκαῖον εὐτρεπισθείσησ. ταῦτα μὲν ἐπὶ τοσοῦτον.

ΕΟΡΤΗ ΔΡΑΓΜΑΤΟΣ.

Ἑορτὴ δέ ἐστιν ἐν ἑορτῇ μετὰ τὴν πρώτην εὐθὺσ ἡμέραν, ἥτισ ἀπὸ τοῦ συμβεβηκότοσ ὀνομάζεται δρᾶγμα. τοῦτο γὰρ ἀπαρχὴ προσ-

---

Mang. Richt. ed. Tauchn., at iam Hoesch. in marg. ἄζυμοσ corrigendum esse notavit) τροφή. Praeterea omittunt τῶν ante ἱερῶν γραμμάτων.

1—2 ἐπιτηδεύσει — κατεσκεύασαν desunt in edd.

2—8 ἐπεὶ οὖν ἐστὶν — ἐμπυρεύματα ζωπυρεῖν: edd. ἐπεὶ – ἑορτὴ τῆσ τοῦ κόσμου – γηγενεῖσ ἀναγκαῖον ἦν χρήσασθαι – ἔτοσ τὰ σεμνῆσ κ. αὐστηρᾶσ διαίτησ ἐμπορεύματα (ita Hoesch. Richt. et Tauchn., sed iam Mang. correxit ἐμπυρεύμ.) ζωπυρεῖν.

5 δωρεαῖσ ἀδιαστρόφοισ (cf. de Abrah. 2. pag. 6. v. 39. φύσιν εὔμοιρον κτησάμενοι διετήρησαν αὐτὴν ἀδιάστροφον, item alibi) ex cod. Hoesch. adsumpsimus pro τροφαῖσ ἄδεία (sic) δωρεᾶσ, quae in Laur. scripta sunt. Ex eodem recepimus οἰκειοτάτην τροφήν, quae verba Laur. om.

8—14 καὶ ἅμα τὸν ἀρχαῖον — ἐπὶ τοσοῦτον nondum edita erant.

17 sqq. ἑορτὴ δὲ — γένουσ κοινήν: edd. ἑορτὴ δ' ἔστιν ἡ μετὰ τὴν πρώτην εὐθὺσ ἡμέρα – ἀπαρχὴ προσαγορεύεται (Mang. proposuit) προσάγεται) – τὸ ἔθνοσ οἰκεῖον (rursus Mang. „melius οἰκεῖν") – ὡσ εἶναι τὴν ἀπαρχὴν καὶ τοῦ ἔθνουσ ἰδίαν καὶ ὑπὲρ – κοινήν.

18 δρᾶγμα: ita codex

ἄγεται τῷ βωμῷ καὶ τῆσ χώρασ, ἣν ἔλαχε τὸ ἔθνοσ οἰκεῖν, καὶ τῆσ συμπάσησ γῆσ, ὡσ εἶναι καὶ τὴν ἀπαρχὴν τοῦ ἔθνουσ ἰδίαν καὶ τὴν ὑπὲρ ἅπαντοσ ἀνθρώπων γένουσ κοινήν. τὸ δ' αἴτιον, ὅτι ὃν λόγον ἔχει πρὸσ πόλιν ἱερεύσ, τοῦτον πρὸσ ἅπασαν τὴν οἰκουμένην τὸ Ἰουδαίων ἔθνοσ. ἱερᾶται γάρ, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, ἅπασι τοῖσ ἁγνευτικοῖσ καθαρσίοισ χρώμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν, ὑφηγήσεσι νόμων θείων, οἳ τάσ τε γαστρὸσ ἡδονὰσ καὶ ὑπογαστρίουσ ἔστειλαν καὶ ἐκόλουσαν, ταῖσ αἰσθήσεσιν ἡνίοχον, ἀλόγοισ λόγον ἐπιστήσαντεσ· ἔτι δὲ καὶ τὰσ τῆσ ψυχῆσ ἀκρίτουσ καὶ πλεοναζούσασ ὁρμὰσ ἀνέκοψαν καὶ ἀνεχαίτισαν, τὰ μὲν μαλακωτέραισ ὑφηγήσεσι καὶ φιλοσόφοισ προτροπαῖσ, τὰ δ' ἐμβριθεστέροισ καὶ εὐτονωτέροισ ἐλέγχοισ καὶ φόβῳ κολάσεωσ, ὃν ἐπανατείνονται. χωρὶσ δὲ τοῦ τὴν νομοθεσίαν τρόπον τινὰ διδασκαλίαν ἱερωσύνησ εἶναι καὶ τὸν βιοῦντα κατὰ τοὺσ νόμουσ εὐθὺσ ἱερέα, μᾶλλον δ' ἀρχιερέα παρ' ἀληθείᾳ δικαζούσῃ νομίζεσθαι, κἀκεῖνο πρόσεστιν ἐξαίρετον· ἀπερίγαφον καὶ ἀπερίληπτον συμβέβηκεν εἶναι θεῶν πλῆθοσ τῶν κατὰ πόλιν τιμωμένων ἀρρένων τε καὶ θηλειῶν, οὓσ τό τε ποιητικὸν γένοσ ἐμύθευσε καὶ πολὺσ ὅμιλοσ ἀνθρώπων, οἷσ ἄποροσ καὶ ἀδιερεύνητοσ ἡ ζήτησισ τῆσ ἀληθείασ ἐστίν, οὐ μὴν τοὺσ αὐτοὺσ ἅπαντεσ ἀλλὰ ἑτέρουσ ἕτεροι, σεμνοποιοῦσι καὶ γεραίρουσιν, ὡσ μηδὲ θεοὺσ τοὺσ ἐπὶ τῆσ ἀλλοδαπῆσ νομίζειν, ἀλλὰ γέλωτα καὶ χλεύην ὑποθέσθαι τὰσ ἐκείνων ὑποδοχάσ, καὶ καταγινώσκειν τῶν τιμώντων πολλὴν ἠλιθιότητα, ὡσ ὑγιοῦσ διαμαρτανόντων δόξησ. εἰ δ' ἔστιν, ὃν μιᾷ γνώμῃ πάντεσ ὁμολογοῦσιν Ἕλληνεσ ὁμοῦ

---

3 τὸ δ' αἴτιον: ab hac inde voce usque ad 53, 17 ὑπὲρ τοῦ κοινοῦ γένουσ τῶν ἀνθρώπων ἐπιτελεῖν omnia inedita erant. Mirum autem in modum post γένουσ κοινήν in editis statim pergitur: καὶ τὸν ὄντα θεὸν θεραπεύειν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ὅτι πάμφορον γῆν ἔλαχον.

8 καὶ ἐκόλουσαν ex coniectura edidimus. Codex καὶ τὸν ὄχλον habet, quod ineptum esse apparet. Est autem ἔστειλαν καὶ ἐκόλουσαν similiter dictum ac proximo orationis membro ἀνέκοψαν καὶ ἀνεχαίτισαν.

16 συμβέβηκεν εἶναι pro συμβέβηκεν εἰ, quod in codice est, scripsimus.

18 ἄποροσ: ita pro ἄπονοσ, quod ipse codex praebet, reponendum videbatur.

καὶ βάρβαροι, ὁ ἀνωτάτω πατὴρ θεῶν τε καὶ ἀνθρώπων καὶ τοῦ σύμπαντοσ κόσμου δημιουργόσ, οὗ τὴν φύσιν ἀόρατον καὶ δυστόπαστον οὖσαν οὐ μόνον ὁραθῆναι ἀλλὰ καὶ νοηθῆναι πάντεσ οἱ περὶ τὰ μαθήματα καὶ τὴν ἄλλην φιλοσοφίαν διατρίβοντεσ ἀναζητεῖν γλίχονται, μηδὲν παρέντεσ τῶν εἰσ εὕρεσιν καὶ τούτου θεραπείαν, ἔδει μὲν πάντασ ἀνθρώπουσ ἀνῆφθαι, καὶ μὴ καθάπερ ἀπὸ μηχανῆσ εἰσποιεῖν ἑτέρουσ ἐπὶ μετουσίᾳ τῶν ἴσων τιμῶν. ἐπεὶ δὲ περὶ τὸ ἀναγκαιότατον ὤλισθον μέροσ, τὸ σφάλμα τῶν ἄλλων ἐπανωρθώσατο, κυριώτατα φάναι, τὸ Ἰουδαίων ἔθνοσ, ὅσα μὲν εἰσ γένεσιν ἦλθε πάνθ' ὑπερκύψαν ὡσ γενητὰ καὶ τῇ φύσει φθαρτά, τοῦ δ' ἀγενήτου καὶ ἀϊδίου μόνον τὴν θεραπείαν ἑλόμενον. πρῶτον μὲν ὅτι καλόν, ἔπειτα δ' ὅτι καὶ ὠφέλιμον, πρεσβυτέρῳ πρὸ νεωτέρων καὶ ἄρχοντι πρὸ ἀρχομένων καὶ ποιητῇ πρὸ γεγονότων ἀνακεῖσθαί τε καὶ προτίθεσθαι. διὸ καὶ θαυμάζειν ἐπέρχεταί μοι, πῶσ τολμῶσί τινεσ ἀπανθρωπίαν τοῦ ἔθνουσ κατηγορεῖν, ὃ τοσαύτῃ κέχρηται κοινωνίασ καὶ εὐνοίασ τῆσ πρὸσ πανταχοῦ πάντασ ὑπερβολῇ, ὡσ τάσ τε εὐχὰσ καὶ ἑορτὰσ καὶ ἀπαρχὰσ ὑπὲρ τοῦ κοινοῦ γένουσ τῶν ἀνθρώπων ἐπιτελεῖν, ʽκαὶ τὸν ὄντωσ ὄντα θεραπεύειν θεὸν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν ἄλλων, οἳ τὰσ ὀφειλομένασ λατρείασ ἀποδεδράκασι. καὶ ταῦτα μὲν ὑπὲρ τοῦ σύμπαντοσ ἀνθρώπων γένουσ. ἰδίᾳ δὲ πάλιν εὐχαριστοῦσι πολλά. πρῶτον μὲν ὅτι οὐκέτι σποράδην ἀλώμενοι κατά τε νήσουσ καὶ ἠπείρουσ διατελοῦσι καὶ ὡσ ὀθνεῖοι καὶ ἀΐδρυτοι τὰσ ἑτέρων ἐπῳκηκότεσ καὶ ἀλλοτρίοισ ἐφεδρεύοντεσ ἀγαθοῖσ ὀνειδίζονται, μηδεμίαν γῆσ τοσαύτησ ἀποτομὴν τῷ μειονεκτεῖσθαι διανειμάμενοι, χώραν δὲ καὶ πόλεισ κτησάμενοι κλῆ-

---

15 τῆσ πρὸσ: codex τῇ πρὸσ

17 sq. καὶ τὸν ὄντωσ ὄντα — ἄλλων: de his verbis vide quae supra pag. 53 ad v. 3 ex edd. allata sunt. Reliqua: ὅτι πάμφορον γῆν ἔλαχον, infra habes pag. 54 v. 3. Rursus enim quicquid inde a verbis οἳ τὰσ ὀφειλομένασ λατρείασ (v. 18) usque ad ἀμυθήτων ἀφθονίαν (v. 4 pag. 54) legitur, exceptis quattuor vocibus illis in editis desiderabatur.

20 μὲν ὅτι: ὅτι supplevimus. Tum οὐκέτι pro οὐκ αἰεὶ scripsimus.

23 γῆσ τοσαύτησ: codex τῆσ τοσαύτησ

24 διανειμάμενοι: codex δανεισάμενοι

ρον ἴδιον ἐκ πολλοῦ νέμονται, ἀφ' ὧν τὰσ ἀπαρχὰσ ὅσιόν ἐστι ποιεῖσθαι. δεύτερον δ' ὅτι οὔτε ἀπόβλητον καὶ τὴν τυχοῦσαν, ἀλλ' ἀγαθὴν καὶ πάμφορον γῆν ἔλαχον πρόσ τε ζώων ἡμέρων εὐγονίαν καὶ καρπῶν ἀμυθήτων ἀφθονίαν. ἐν αὐτῇ γὰρ οὐδέν ἐστι λυπρόγεων, ἀλλὰ καὶ ὅσα λιθώδη καὶ ἀπόκροτα εἶναι δοκεῖ, φλεψὶ μαλακαῖσ διέζωσται καὶ σφόδρα βαθείαισ, αἳ διὰ πιότητα ζωοφυτεύειν εἰσὶν ἀγαθαί. πρὸσ δὲ τούτοισ οὐκ ἔρημον χώραν ἔλαβον, ἀλλ' ἐν ᾗ πολυάνθρωπον ἔθνοσ ἦν καὶ εὐανδροῦσαι μεγάλαι πόλεισ· ἀλλ' αἱ μὲν ἐκενώθησαν οἰκητόρων, τὸ δὲ σύμπαν ἔθνοσ ἔξω μέρουσ βραχέοσ ἠφανίσθη, τὰ μὲν πολέμοισ, τὰ δὲ καὶ θεηλάτοισ προσβολαῖσ διὰ κενὰσ καὶ ἐκτόπουσ ἐπιτηδεύσεισ ἀδικημάτων, καὶ ὅσα μεγαλουργοῦντεσ ἐπὶ καθαιρέσει τῶν τῆσ φύσεωσ θεσμῶν ἠσέβουν, ἵνα οἱ ἀντὶ τούτων εἰσοικιζόμενοι τοῖσ ἑτέρων σωφρονισθῶσι κακοῖσ, ἀναδιδαχθέντεσ ἔργοισ ὅτι ζηλωταὶ μὲν τῶν ἔργων γενόμενοι ταῦτα πείσονται, τιμήσαντεσ δ' ἀρετῆσ βίον ἀνέξουσι τὸν ἀπονεμηθέντα κλῆρον, οὐκ ἐν μετοίκοισ, ἀλλ' ἐν αὐτόχθοσιν ἐξετασθέντεσ. ὡσ μέντοι νῦν ἀπαρχὴ τὸ δρᾶγμα τῆσ τε οἰκείασ καὶ τῆσ συμπάσησ γῆσ ἐστίν, ἐπ' εὐχαριστίᾳ γινόμενον εὐθηνίασ καὶ εὐετηρίασ, ᾗ τό τε ἔθνοσ καὶ τὸ σύμπαν ἀνθρώπων γένοσ ἐπόθει χρῆσθαι, δεδήλωται.

ΤΙϹ Η ΤΗϹ ΑΠΑΡΧΗϹ ΩΦΕΛΕΙΑ.

Προσήκει δὲ μὴ ἀγνοεῖν ὅτι πολλὰ διὰ τῆσ ἀπαρχῆσ καὶ ὠφελιμώτατα παρίσταται. πρῶτον μὲν θεοῦ μνήμη, ἧσ οὐκ ἔστιν εὑρεῖν

---

2 τυχοῦσαν: in codice (post ἀπόβλητον καὶ) ἀποτυχοῦσαν scriptum est

4—6 ἐν αὐτῇ γὰρ — εἰσὶν ἀγαθαί: edd. ἐν αὐτῇ γὰρ οὐδέν ἐστι λυπρόγεων (Laur. corrupte λυπηρὸν γονέων) — διὰ πιστότητα (sed Mang. „melius scribi potest πιότητ.") ζωοφυεῖν (Mang. „forsan ζωοτροφεῖν") εἰσὶν ἀγαθαί.

6 ζωοφυτεύειν nondum in lexicis est. Notatum vero ex Athen. 15, p. 682. ζωοφυτοῦσι.

6 sq. πρὸσ δὲ τούτοισ οὐκ ἔρημον χώραν usque ad finem capitis nondum edita erant.

21 Caput 27. fere totum ineditum. Ex eis, quae ab initio leguntur usque ad verba ἀμοιβὴ δικαιοτάτη, cod. Hoesch. haec pauca conservavit: πολλὰ μέν-

ἀγαθῶν τελειότερον. ἔπειτα δὲ τῷ πρὸσ ἀλήθειαν αἰτίῳ τῆσ εὐκαρπίασ ἀμοιβὴ δικαιοτάτη. τὰ μὲν γὰρ ἀπὸ τέχνησ γεωργικῆσ ὀλίγα καὶ τὸ μηδέν, αὔλακασ ἀναστεῖλαι ἢ περισκάψαι καὶ γυρῶσαι φυτὸν ἢ βαθῦναι τάφρον ἢ τὰσ περιττὰσ ἐπιφυήσεισ ἀποτεμεῖν ἤ τι τῶν ὁμοιοτρόπων ἐργάσασθαι, τὰ δ' ἐκ φύσεωσ ἀναγκαῖα πάντα καὶ χρήσιμα, γονιμώτατον ἔδαφοσ, εὔυδρα χωρία πηγαῖσ καὶ ποταμοῖσ αὐθιγενέσι καὶ χειμάρροισ καὶ ἐτησίοισ ὄμβροισ καταρδόμενα, ἀέροσ εὐκρασίαι ζωτικωτάταισ αὔραισ ἐπιπνέοντοσ, αἱ σπαρτῶν καὶ φυτῶν ἰδέαι μυρίαι. τί γὰρ τούτων ἄνθρωποσ ἢ εὗρεν ἢ ἐγέννησεν; ἡ μὲν οὖν γεννήσασα φύσισ τῶν ἰδίων ἀγαθῶν οὐκ ἐφθόνησεν ἀνθρώπῳ, ζώων δὲ τῶν θνητῶν ἡγεμονικώτατον αὐτὸν εἶναι ὑπολαβοῦσα, διότι λόγου καὶ φρονήσεωσ κεκοινώνηκεν, ἀριστίνδην εἵλετο καὶ πρὸσ μετουσίαν τῶν ἰδίων ἐκάλεσεν, ὑπὲρ ὧν ἄξιον ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι τὸν ἑστιάτορα θεόν, τὴν ὡσ ἀληθῶσ ἑστίαν γῆν ἅπασαν ἀεὶ πλήρη παρέχοντα τῶν οὐκ ἀναγκαίων μόνον ἀλλὰ καὶ τῶν πρὸσ τὸν ἁβροδίαιτον βίον. πρὸσ δὲ τούτοισ τὸ μὴ δεῖν εὐεργετῶν ἀλογεῖν. ὁ γὰρ πρὸσ τὸν ἀνεπιδεᾶ καὶ ἑαυτοῦ θεὸν εὐχάριστοσ γένοιτ' ἂν καὶ πρὸσ ἀνθρώπουσ ἐξιλασθείσ, οἳ μυρίων ὅσων ἐνδεεῖσ εἰσίν. κρίθινον δὲ τὸ τῆσ ἀπαρχῆσ δρᾶγμα πρὸσ τὴν τῶν ὑποβεβηκότων ἀνυπαίτιον χρῆσιν. ἐπειδὴ γὰρ

τοι διὰ τῆσ ἀπαρχῆσ παρίσταται. πρῶτον μὲν θεοῦ μνῆμα (Mang. „melius ὑπόμνημα"), ἔπειτα τῷ πρὸσ ἀλήθειαν αἰτίῳ τῆσ εὐκαρπίασ ἀμοιβὴ δικαιοτάτη. Quae sequuntur a versu 2 usque ad 18, τὰ μὲν γὰρ ἀπὸ τέχνησ usque ad verba μυρίων ὅσων ἐνδεεῖσ εἰσίν, om. omnia.

15 sq. τῶν οὐκ ἀναγκαίων μόνον ἀλλὰ καὶ τῶν πρὸσ τὸν ἁβρ. βίον: ita fere corrigendam duximus scripturam codicis, quae sic habet: τὸν οὐκ ἀναγκαῖον μόνον ἀλλὰ καὶ τὸν ἁβρ. βίον.

18 ἐξιλασθείσ: ita scripsimus pro ἐξεθισθείσ, quod codex habet.

18 sqq. κρίθινον δὲ — ἀνατίθεται καιρόν: ex his Hoeschelii codex iam praebuit: κριθὴ δὲ τὸ τῆσ ἀπ. δρ. πρὸσ τ. τῶν ὑποβεβιωκότων (Mang. „scribe ὑποβεβηκότων") — τῶν πρὸσ ἐδωδήν, εἰ μὴ οἷσ (Mang. „melius ᾧ") εὐπρεπὲσ καὶ θέμισ εὐχαριστήσαιτο. τὸ δευτερείοισ τρ. τετ. εἶδοσ κριθὴν ἀπάρξεσθαι (Mang. correxit ἀπάρχεσθαι) προσέταξεν ὁ νόμοσ—ἀνατέθεικε καιρόν. Quae sequuntur usque ad verba τεταγμέναισ περιόδοισ desiderantur.

19 ὑποβεβηκότων: Laur. ὑπερβεβηκότων, Hoesch. ὑποβεβιωκότων

οὔτ' εὐαγὲσ ἦν ἐκ πάντων ἀπάρχεσθαι, τῶν πλείστων πρὸσ ἡδονὴν μᾶλλον ἢ τὴν ἀναγκαίαν χρῆσιν γεγονότων, οὔθ' ὅσιον ἀπολαῦσαι καὶ μετασχεῖν τινὸσ τῶν εἰσ ἐδωδὴν μὴ ἂν οἷσ εὐπρεπὲσ καὶ θέμισ εὐχαριστήσαντασ, τὸ δευτερείοισ τροφῆσ τετιμημένον εἶδοσ κρίθινον ἀπάρχεσθαι προσέταξεν ὁ νόμοσ. οὐ γὰρ τοῦ σίτου τὰ πρεσβεῖα ἔλαχεν, οὗ πάλιν τὴν ἀπαρχὴν ἐπιφανεστέραν οὖσαν εἰσ ἐπιτηδειότερον ἀνατίθεται καιρόν, οὐ προεκφοιτῶν, ἀλλ' ἐν τῷ παρόντι ταμιευόμενοσ ὑπὲρ τοῦ καὶ τὰσ εὐχαριστίασ ἡρμόσθαι χρόνων τεταγμέναισ περιόδοισ.

Τοσαύτασ ἔχουσα προνομίασ, ὁπόσασ ἔδειξεν ὁ νόμοσ ἡ ἐπὶ τῷ δράγματι πανήγυρισ προεόρτιόν ἐστιν, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, ἑτέρασ ἑορτῆσ μείζονοσ. ἀπὸ γὰρ ἐκείνησ ἡμέρα πεντηκοστὴ καταριθμεῖται, ἑβδόμη ἑβδομάσ, ἐφ' αἷσ ἱερὸν ἀριθμὸν ἐπισφραγιζομένησ μονάδοσ, ἥτισ ἐστὶν ἀσώματοσ θεοῦ εἰκών, θεῷ κατὰ τὴν μόνωσιν ἐξομοιοῦται. τοῦτο μὲν δὴ πρῶτον κάλλοσ ἐπιδείκνυται πεντηκοστῆσ. ἕτερον δὲ μηνυτέον. θαυμαστὴ καὶ περιμάχητόσ ἐστιν ἡ φύσισ, διά τε τἄλλα, καὶ ἐπειδὴ συνέστηκεν ἐκ τοῦ στοιχειωδεστάτου καὶ πρεσβυτάτου τῶν ἐν οὐσίαισ παραλαμβανομένων, ὥσ φασιν οἱ ἀπὸ τῶν μαθημάτων, ὀρθογωνίου τριγώνου. μήκει μὲν γὰρ αἱ τοῦδε πλευραὶ τριῶν οὖσαι καὶ τεσσάρων καὶ πέντε συμπληροῦσιν ἀριθμὸν τὸν ιβʹ, τοῦ ζωοφόρου

---

1 οὔτ' εὐαγὲσ recte codex Hoeschelii, Laur. ὅτ' εὐαγὲσ

3 μὴ ἂν οἷσ: Laur. μὴ ἐν οἷσ

5 οὐ γὰρ: Laur. ὁ γὰρ

6 pro τὴν ἀπαρχὴν Laur. τὴν ἀρχὴν et v. 7 καρπόν pro καιρόν

9 προνομίασ: codex προνομάσ

10 προεόρτιον: in codice scriptum est προέορτ' h. e. προέορτον, quemadmodum ex codice suo Hoeschelius προέορτοσ edidit.

11 ἀπὸ γὰρ ἐκείνησ: Laur. ἀλλὰ γ. ἐκ.

13 θεῷ κατὰ: Laur. ᾧ κατὰ. Quaeritur an iam totius loci scriptura sana sit.

9—13 τοσαύτασ ἔχουσα — ἐξομοιοῦται: multo pauciora Hoeschelii codex, ex quo sic editum est: τοσαύτασ ἔχουσα προνομίασ ἡ ἐπὶ τῷ δρ. πανήγυρισ προέορτόσ ἐστιν — ἀπὸ γὰρ ἐκείνησ τῆσ ἡμέρασ πεντηκοστὴ ἀριθμεῖται, ἑπτὰ ἑβδομάδων ἱερὸν ἀριθμὸν ἐπισφραγ. μονάδοσ.

14 sqq. τοῦτο μὲν δὴ usque finem capitis inedita omnia.

14 πεντηκοστῆσ: codex πεντηκοντάσ

κύκλου παράδειγμα διπλασιασθείσησ ἑξάδοσ τῆσ γονιμωτάτησ, ἥτισ ἐστὶν ἀρχὴ τελειότητοσ, ἐκ τῶν ἰδίων συμπληρουμένη ἡμερῶν, αἷσ ἐξισοῦται· δυνάμει δ' ὡσ ἔοικεν ἀπογεννῶσι τὸν πεντηκοστὸν διὰ τοῦ τρὶσ τρία καὶ τετράκισ τέσσαρα καὶ πεντάκισ πέντε, ὥστε ἀναγκαῖον εἶναι λέγειν τοσούτῳ δεκάδοσ εἶναι πεντηκοντάδα ὅσῳ καὶ τοῦ δυνάμει τὸ μήκει. εἰ δὲ τοῦ ἐλάττονοσ εἰκών ἐστιν ἡ καλλιστεύουσα τῶν ἐν οὐρανῷ σφαῖρα ἡ ζωηφόροσ, τίνοσ ἂν εἴη παράδειγμα τὸ κρεῖττον, ἡ πεντηκοντάσ, ἢ πάντωσ ἀμείνονοσ φύσεωσ; περὶ ἧσ οὐ καιρὸσ λέγειν· αὐτάρκεσ γὰρ ἐν τῷ παρόντι σεσημειῶσθαι τὴν διαφορὰν ὑπὲρ τοῦ μὴ ἐν παρέργῳ προηγούμενον ἔργον τίθεσθαι.

ΠΕΡΙ ΠΕΝΤΗΚΟΣΤΗΣ ΚΑΙ ΤΩΝ ΕΖΥΜΩΜΕΝΩΝ ΑΡΤΩΝ.

Πρόσρησιν δ' ἔλαχεν ἡ κατὰ τὸν πεντηκοστὸν ἀριθμὸν ἐνισταμένη ἑορτὴ πρωτογεννημάτων, ἐν ᾗ δύο ἐζυμωμένουσ ἄρτουσ ἐκ πυροῦ γεγονότασ ἔθοσ προσφέρειν, ἀπαρχὴν σίτου τῆσ ἀρίστησ τροφῆσ. ὠνομάσθη δὲ πρωτογεννημάτων, ἢ διότι, πρὶν εἰσ τὴν ἀνθρώπων χρῆσιν ἐλθεῖν τὸν ἐπέτειον καρπόν, τοῦ νέου σίτου τὸ πρωτογέννημα καὶ ὁ πρῶτοσ φανεὶσ καρπὸσ ἀπαρχὴ προσάγεται· δίκαιον γὰρ καὶ ὅσιον τὴν μεγίστην λαβόντασ παρὰ θεοῦ δωρεὰν ἀφθονίαν ἀναγκαιοτάτησ ὁμοῦ καὶ ὠφελιμωτάτησ, ἔτι δὲ καὶ ἡδίστησ τροφῆσ μήτε ἀπολαῦσαι μήτε συνόλωσ σπᾶσαι πρὶν ἀπάρξασθαι τῷ χορηγῷ, διδόντασ μὲν οὐδέν, αὐτοῦ γὰρ τὰ πάντα καὶ κτήματα καὶ δωρεαί, διὰ

---

2 αἷσ ἐξισοῦται pro οἷσ ἐξισοῦται scripsimus, item vers. 6 εἰ δὲ τοῦ ἐλάττονοσ pro ἡ δὲ τοῦ ἐλάττονοσ.

14 sqq. πρόσρησιν δ' ἔλαχεν — ὅσα σπαρτά: rursus de his excerpta pauca codex Hoeschelii continet. Editum sic est: πρόσρησιν — τῆσ ἀρίστησ τροφῆσ· ἢ διότι πρὶν εἰσ — τοῦ νέου σίτου πρῶτον γέννημα, καὶ ὁ πρῶτοσ παραφανὴσ (Mang. -νεὶσ) καρπὸσ ἀπαρχὴ προσάγεται, ἵνα διὰ βραχέοσ συμβόλου παραφήνωσιν εὐχάριστον ἦθοσ, ἢ διότι κατ' ἐξοχὴν πρῶτον—καρπόσ ἐστιν.

16 ἀπαρχὴν: Laur. ἐξ ἀρχῆσ

21 ἀναγκαιοτάτησ et ὠφελιμωτάτησ: cod. ἀναγκαιοτάτην et ὠφελιμωτάτην

δὲ βραχέοσ συμβόλου παραφαίνοντασ εὐχάριστον καὶ θεοφιλὲσ ἦθοσ πρὸσ τὸν χαρίτων μὲν ἀνεπιδεᾶ, συνεχεῖσ δὲ καὶ ἀεννάουσ χάριτασ ἄρδοντα· ἢ διότι κατ᾿ ἐξοχὴν πρῶτον καὶ ἄριστον γέννημα ὁ τοῦ σίτου καρπόσ ἐστιν, ἐν τῇ δευτέρᾳ τάξει τῶν ἄλλων καταριθμουμένων ὅσα σπαρτά. καθάπερ γὰρ ἄρχων ἐν πόλει, κυβερνήτησ δ᾿ ἐν νηὶ πρῶτοσ εἶναι λέγεται, τῷ τὸν μὲν κατὰ πόλιν, τὸν δὲ κατὰ ναῦν ἀφηγεῖσθαί τε καὶ προφέρειν, τὸν αὐτὸν τρόπον καὶ ὁ τοῦ σίτου καρπὸσ ὀνόματι συνθέτῳ πρωτογέννημα ὠνομάσθη διὰ τὸ πάντων ἄριστοσ εἶναι τῶν σπειρομένων· ἔδει γὰρ αὐτὸν καὶ τοῦ ζώων ἀρίστου εἶναι τροφήν. ἐζυμωμένοι δ᾿ εἰσὶν οἱ ἄρτοι, τοῦ νόμου ζύμην ἐπὶ τὸν βωμὸν ἀναφέρειν ἀπειπόντοσ, οὐχ ἵνα διαμάχῃ τισ ἢ ἐν τοῖσ προσταττομένοισ, ἀλλ᾿ ὑπὲρ τοῦ τρόπον τινὰ δι᾿ ἑνὸσ εἴδουσ λαβεῖν τε καὶ δοῦναι, λαβεῖν μὲν τὴν ἀπὸ τῶν προσφερομένων εὐχαριστίαν, δοῦναι δ᾿ εὐθὺσ ἀνυπερθέτωσ τὰ νομιζόμενα τοῖσ προσφέρουσιν. οὐ μὴν ὥστε χρῆσθαι· χρήσονται γὰρ τοῖσ ἅπαξ καθιερωθεῖσιν, οἷσ ἔξεστί τε καὶ ἐφίεται, ἔξεστι δὲ τοῖσ ἱερωμένοισ, οἳ τῶν προσαγομένων τῷ βωμῷ, ὅσα μὴ ὑπὸ τοῦ ἀσβέστου πυρὸσ ἀναλίσκεται, τὴν μετουσίαν ἔλαβον, φιλανθρωπίᾳ νόμου δοθεῖσαν ἢ μισθὸν ὑπηρεσιῶν ἢ γέρασ ἀγώνων, οὓσ ὑπὲρ εὐσε-

---

1 διὰ δὲ βραχέοσ: δὲ non est in codice

2 ἀεννάουσ: servavimus codicis scripturam, sed praestat ubique ἀενάουσ

5—9 καθάπερ γὰρ — εἶναι τροφήν: horum nihil codex Hoeschelii praebuit.

10—16 ἐζυμωμένοι δ᾿ εἰσὶν — τοῖσ ἱερωμένοισ: edd. ἐζυμ. δ᾿ εἰσὶν — τοῦ νόμου ἄζυμα (hoc male legi iam vidit Mang. proposuitque erroris tollendi caussa ἀνειπόντοσ pro ἀπειπόντοσ) — εἴδουσ δοῦναί τε καὶ λαβεῖν — ἀπὸ τῶν προσφερόντων εὐχαριστίαν, δοῦναι δὲ ἀνυπερθέτωσ — οὐ μὴν ὥστε χρῆσθαι (haec vox in ed. princ. Hoeschelii legitur, in repetitionibus male excidit. Hinc Mang. in textu ὥστε*, in notis „deesse videtur χρήσασθαι") — οἷσ ἔξεστιν· ἔξεστι δὲ τοῖσ ἱερεῦσι. Apud nos quae sequuntur, οἳ τῶν προσαγομένων — διανειμάμενοι, Hoesch. codex plane non habet.

11 διαμάχῃ: Laur. διδαχῇ. Idem v. seq. ἔθνουσ pro εἴδουσ.

14 νομιζόμενα: Laur. κομιζόμενα

17 sq. φιλανθρωπίᾳ νόμου: codex, ut supra, φιλανθρωπίαν ὁμοῦ. Idem pro ἢ μισθὸν ὑπηρεσιῶν corrupte ἢ μισθῶν ἢ ὑπηρεσιῶν, postea τοῦ κατὰ τὴν

βείασ ἀθλοῦσιν, ἢ κλῆρον ἱερόν, τῶν κατὰ τὴν χώραν μὴ τὸν αὐτὸν τρόπον ταῖσ ἄλλαισ φυλαῖσ τὸ ἐπιβάλλον μέροσ διανειμάμενοι. σύμβολον δ' ἐστὶ καὶ ἄλλων ἡ ζύμη δυοῖν. ἑνὸσ μὲν ἐντελεστάτου καὶ ὁλοκλήρου τροφῆσ, ἧσ οὐκ ἔστιν ἐν τῇ καθ' ἡμέραν χρήσει κρείττονα καὶ λυσιτελεστέραν εὑρεῖν· κράτιστοσ δὲ καὶ ὁ τοῦ σίτου καρπὸσ ἐν σπαρτοῖσ, ὡσ ἁρμόττειν ὑπὲρ τοῦ ἀρίστου ποιεῖσθαι τὴν ἀρίστην ἀπαρχήν. ἕτερον δὲ συμβολικώτερον, πᾶν τὸ ἐζυμωμένον ἐπαίρεται, χαρὰ δὲ ψυχῆσ ἐστὶν εὔλογοσ ἔπαρσισ· ἐπ' οὐδενὶ γὰρ τῶν ὄντων μᾶλλον χαίρειν πέφυκεν ἄνθρωποσ ἢ εὐπορίᾳ καὶ ἀφθονίᾳ τῶν ἀναγκαίων, ἐφ' οἷσ ἄξιον γεγηθότασ εὐχαριστεῖν, ποιουμένουσ ἀοράτου τῆσ περὶ τὴν διάνοιαν εὐπαθείασ αἰσθητὴν διὰ τῶν ἐζυμωμένων ἄρτων εὐχαριστίαν. ἄρτοι δ' εἰσὶν ἀλλ' οὐ σῖτοσ ἡ ἀπαρχή, διὰ τὸ μηδὲν ἔτι ἐνδεῖν τῶν εἰσ ἀπόλαυσιν τροφῆσ σίτου γεγονότοσ. λέγεται γὰρ ὅτι τῶν σπαρτῶν ἁπάντων τελευταῖοσ ὁ πυρὸσ γεννᾶσθαι πέφυκε καὶ πρὸσ ἄμητον παρίστασθαι. δύο δ' εἰσὶν ἄριστα δυοῖν χρόνων χαριστήρια, τοῦ τε παρελθόντοσ, ἐν ᾧ καὶ τῶν ἐξ ἐνδείασ καὶ λιμοῦ κακῶν οὐκ ἐπειράθημεν ἐν εὐετηρίᾳ διάγοντεσ, καὶ τοῦ μέλλοντοσ, διότι τὰσ εἰσ αὐτὸν χορηγίασ καὶ παρασκευὰσ ηὐτρεπισάμεθα, καὶ γέμοντεσ χρηστῶν

---

pro τῶν κατὰ τήν, denique, eodem vitio quo supra p. 53, 24, δανεισάμενοι pro διανειμάμενοι.

2—11 σύμβολον δ' ἐστὶ — ἄρτων εὐχαριστίαν: edd. σύμβολον — ἧσ οὐκ ἔστιν εὑρεῖν ἐν τῇ — λυσιτελεστέραν· κράτιστον δὲ καὶ — ἐπαίρειν (Mang. „melius ἐπαίρει"). χαρὰ δὲ ψυχῆσ ἐστὶν ἄλογοσ ἔπαρσισ. ἐπ' οὐδενὶ δὲ τῶν — γεγηθότωσ εὐχαριστεῖν — εὐχαριστίαν.

4 χρήσει: Laur. κτήσει et v. 6 ἁρμόττον pro ἁρμόττειν

7 sq. χαρὰ δὲ: Laur. χαρᾶσ δὲ

8 μᾶλλον: Laur. om. Item pro εὐπορίᾳ v. 9 habet εὑρεία, quod etiam εὐροίᾳ corrigi possit.

12—18 ἄρτοι δ' εἰσὶν — ηὐτρεπισάμεθα: edd. ἄρτοι — μηδὲν ἐνδεῖν ἔτι — παρίσταται (Mang. „forsan παρύστατοσ") — δυοῖν χρόνοιν — παρεληλυθότοσ, ἐν ᾧ τῶν ἐξ — ηὐτρεπισάμεθα. Quae praeterea apud nos sequuntur, καὶ γέμοντεσ — οἰκονομικῆσ ἀρετῆσ, Hoeschelii codex non habet.

18 ηὐτρεπισάμεθα recepimus ex Hoesch. codice pro ἐποιησάμεθα, quod Laur. praebet.

ἐλπίδων ταμιευόμεθα τὰσ τοῦ θεοῦ δωρεάσ, εἰσ τὴν καθ' ἡμέραν προσφέροντεσ αἰεὶ δίαιταν, ὅσων ἂν χρεία κατὰ νόμουσ τῆσ οἰκονομικῆσ ἀρετῆσ.

ΠΕΡΙ ΙΕΡΟΜΗΝΙΑΣ.

Ἑξῆσ ἐστὶν ἱερομηνία, καθ' ἣν ἅμα ταῖσ ἀναγομέναισ θυσίαισ ἐν τῷ ἱερῷ σαλπίζειν ἔθοσ. ἀφ' οὗ καὶ σαλπίγγων ἐπώνυμοσ ἡ ἑορτὴ προσαγορεύεται, διττὸν λόγον ἔχουσα, τὸν μὲν ἴδιον τοῦ ἔθνουσ, τὸν δὲ κοινὸν πάντων ἀνθρώπων. ἴδιον μὲν ὑπόμνησιν τεραστίου καὶ μεγαλουργηθέντοσ ἔργου, καθ' ὃν χρόνον τὰ λόγια τῶν νόμων ἐθεσπίζετο. τότε γὰρ ἐξ οὐρανοῦ φωνὴ σάλπιγγοσ ἐξήχησεν, ἣν εἰκὸσ ἄχρι τῶν τοῦ παντὸσ φθάσαι περάτων, ἵνα καὶ τοὺσ μὴ παρόντασ καὶ μόνον οὐκ ἐν ἐσχατιαῖσ κατοικοῦντασ διὰ τοῦ συμβεβηκότοσ ἐπιστρέψῃ, λογισαμένουσ, ὅπερ εἰκόσ, ὅτι τὰ οὕτωσ μεγάλα μεγάλων ἀποτελεσμάτων ἐστὶ σημεῖα. τί δὲ μεῖζον ἢ ὠφελιμώτερον εἰσ ἀνθρώπουσ ἐλθεῖν ἐδύνατο τῶν γενικῶν νόμων, οὓσ προεφήτευσεν ὁ θεόσ, οὐ δι' ἑρμηνέωσ, καθάπερ τὰ ἐν εἴδει νόμιμα. τοῦτο μὲν ἐξαίρετον τοῦ ἔθνουσ· κοινὸν δὲ πρὸσ ἅπαντασ ἀνθρώπουσ ἐκεῖνο. ἡ σάλπιγξ ὄργανόν ἐστι πολέμου καὶ πρὸσ τὴν κατ' ἐχθρῶν ἐφόρμησιν, ὁπότε καιρὸσ εἴη συμπλέκεσθαι, καὶ πρὸσ ἀνάκλησιν, ὁπότε διακρίνεσθαι

---

2 ὅσων: codex ὅσον

5 Caput 29. in breve contractum codex Hoesch. praebuit.

6—10 ἑξῆσ ἐστὶν — ἐθεσπίζετο: edd. ἑξῆσ δέ ἐστιν — ἔτυμοσ ἑορτὴ — ἀνθρώπων ἁπάντων — ἐθεσπίζετο.

7 ἐπώνυμοσ scripsimus conlato loco 61, 11 pro ἔτυμοσ.

8 προσαγορεύεται: Laur. προσαγορεύεσθαι

11—15 τότε γὰρ — ἐστὶ σημεῖα: edd. τότε γὰρ ἀπ' οὐρανοῦ — μὴ παρόντασ. Post hanc vocem pessime pergitur ἡ ποιὰ ἐπίστρεψισ (a Mang. et iam ante eum, sed non in ed. princ., propositum est ἡ ποιὰ φωνὴ ἐπιστρέψῃ). Tum reliqua sequuntur: λογισαμένουσ — οὕτω μεγάλα — σημεῖα.

15—18 τί δὲ μεῖζον — ἐξαίρετον τοῦ ἔθνουσ: edd. τί δὲ — ἠδύνατο τ. γενικῶν νόμων. Omissa sunt reliqua.

18 sqq. κοινὸν δὲ — στρατόπεδα: haec edd. brevissime sic reddunt: κοινὸν — ἐστι πολέμου, καὶ πρὸσ ἐφόρμησιν καὶ πρὸσ ἀνάκλησιν (deesse h. l. nonnulla sensit Mang.)

δέοι πρὸσ τὰ οἰκεῖα ἐπανελευσομένουσ στρατόπεδα. ἔστι δὲ καὶ ἕτεροσ θεήλατοσ πόλεμοσ, ὅταν ἡ φύσισ ἐν ἑαυτῇ στασιάσῃ τῶν μερῶν ἀντεπιτιθεμένων ἀλλήλοισ, ἰσότητοσ εὐνομωτάτησ πλεονεξίᾳ τοῦ ἀνίσου κρατηθείσησ. ὑπ' ἀμφοτέρων δὲ τῶν πολέμων φθείρονται τὰ ἐπίγεια, πρὸσ μὲν ἐχθρῶν δενδροτομίαισ, δῃώσεσιν, ἐμπρήσεσι τροφῶν καὶ πεδίων σταχυηφορούντων, ὑπὸ δὲ τῶν κατὰ φύσιν αὐχμοῖσ, ἐπομβρίαισ, νοτίων βίαισ πνευμάτων, φλογώσεσι ταῖσ ἀφ' ἡλίου, χιονώδει περιψύξει, τῆσ ἁρμονίασ τῶν ἐτησίων ὡρῶν περιηκούσησ εἰσ ἀναρμοστίαν, ἕνεκά μοι δοκεῖ τῆσ οὐ κατὰ μικρὸν ἐπιπολαζούσησ ἀλλ' ἀθρόῳ φορᾷ κεχυμένησ ἀσεβείασ, παρ' οἷσ ἂν ταῦτα γίνηται. διὰ τοῦτο, καθάπερ εἶπον, ἐπώνυμον ἑορτὴν ὀργάνου πολεμικοῦ σάλπιγγοσ ἀπέφηνεν ὁ νόμοσ, ἐπ' εὐχαριστίᾳ τοῦ εἰρηνοποιοῦ θεοῦ καὶ εἰρηνοφύλακοσ, ὃσ καὶ τὰσ ἐν ταῖσ πόλεσι καὶ τὰσ ἐν τοῖσ μέρεσι τοῦ παντὸσ στάσεισ ἀνελὼν εὐθηνίασ καὶ εὐετηρίασ καὶ τῶν ἄλλων ἀγαθῶν ἀφθονίαν ἀπειργάσατο, μηδὲν ἐμπύρευμα καρπῶν φθορᾶσ ἐάσασ ζωπυρηθῆναι.

1—4 ἔστι δὲ —κρατηθείσησ: edd. ἔστι — ὅτε ἡ φύσισ ἐν ἑαυτῇ στασιάζει — ἀλλήλοισ, omissis reliquis.

4—10 ὑπ' ἀμφοτέρων — ταῦτα γίνηται: haec Hoeschelii codex in brevius contrahit sic: ὑπ' ἀμφοτέρων — φθείρεται τὰ ἐπίγεια· πρὸσ μὲν ἐχθρῶν δενδροτομίαισ, ἐμπρήσεσιν· ὑπὸ δὲ — αὐχμοῖσ, ἐπομβρίαισ, φλογώσεσι ταῖσ — εἰσ ἀναρμοστίαν, omissis reliquis.

4 sq. ἐπίγεια: Laur. πεδία (at sequitur paullo post καὶ πεδίων)

9 μοι δοκεῖ: codex μοι δοκῶ

10—16 διὰ τοῦτο — ζωπυρηθῆναι: edd. διὰ τοῦτο ἐπώνυμον ἑορτὴν — εἰρηνοποιοῦ θεοῦ, ὃσ καὶ — καὶ εὐετηρίασ ἀπειργάσατο (sic Hoesch., non ut Mang. Richt. Tauchn. ἀπεργάσατο), μηδὲν — ζωπυρηθῆναι.

11 καθάπερ εἶπον: codex om. εἶπον

12 ἀπέφηνεν et εἰρηνοποιοῦ: haec ex cod. Hoesch. adsumpsimus, cod. Laur. ἀπέφαινεν et εἰρηνικοῦ.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.

Μετὰ δὲ τὴν τῶν σαλπίγγων ἄγεται νηστείασ ἑορτή. τάχα ἄν τισ εἴποι τῶν ἑτεροδόξων καὶ ψέγειν τὰ καλὰ μὴ αἰδουμένων· ἑορτὴ δ' ἔστι τίσ, ἐν ᾗ μὴ συμπόσια καὶ συσσίτια καὶ ἑστιατόρων καὶ ἑστιωμένων θίασοσ, καὶ πολὺσ ἄκρατοσ καὶ τράπεζαι πολυτελεῖσ καὶ χορηγίαι καὶ παρασκευαὶ τῶν ἐν δημοθοινίᾳ πάντων, εὐφροσύναι τε καὶ κῶμοι σὺν ἀθύρμασι καὶ τωθασμοῖσ, καὶ παιδιὰ μετ' αὐλοῦ καὶ κιθάρασ καὶ τυμπάνων τε καὶ κυμβάλων, καὶ τῶν ἄλλων ὅσα παρὰ τὸ λελυμένον καὶ ἐκτεθηλυμένον εἶδοσ μουσικῆσ δι' ὤτων ἐγείρει τὰσ ἀκαθέκτουσ ἐπιθυμίασ; ἐν γὰρ τούτοισ καὶ διὰ τούτων ὡσ ἔοικε τὸ εὐφραίνεσθαι τίθενται, ἀγνοίᾳ τῆσ πρὸσ ἀλήθειαν εὐφροσύνησ. ἣν ὀξυδερκεστάτοισ ὄμμασιν ἰδὼν ὁ πάνσοφοσ Μωϋσῆσ τὴν νηστείαν ἑορτὴν ἀνεῖπε, καὶ ἑορτῶν τὴν μεγίστην, πατρίῳ γλώττῃ σάββατα σαββάτων αὐτὴν ὀνομάσασ, ὡσ δ' ἂν Ἕλληνεσ εἴποιεν, ἑβδομάδα ἑβδομάδων καὶ ἁγίων ἁγιωτέραν, διὰ πολλά. πρῶτον μὲν δι' ἐγκράτειαν, ἣν ἀεὶ καὶ πανταχοῦ παραγγέλλων ἐν ἅπασι τοῖσ κατὰ βίον ἐπιδείκνυσθαι πράγμασι διά τε γλώττησ καὶ γαστρὸσ καὶ τῶν μετὰ γαστέρα, νυνὶ δὲ διαφερόντωσ κελεύει περιέπειν, ἐξαίρετον ἡμέραν

2 Capitis 30. multa inedita.

3—12 Μετὰ δὲ — τῆσ πρὸσ ἀλήθειαν εὐφροσύνησ: post primum versum, qui idem apud Hoesch. est, omnia inedita.

3 νηστείασ (ut Hoesch.): Laur. νηστεία

9 sq. ὅσα παρὰ τὸ λελυμένον: codex ὅσα τὸ παραλελυμένον

12 sqq. ἣν ὀξυδερκεστάτοισ — διὰ πολλά: his respondent apud Hoeschelium ἣν ἑορτὴν τὴν μεγίστην Μωϋσῆσ ἀνεῖπεν, πατρίῳ γλ. σάββατον σαββάτων ὀνομάσασ, ὥς — εἴποιεν, ἑβδομάδες (Mang. „scribe -μάδα") ἑβδομάδων καὶ τῶν ἁγίων ἁγιώτεραι (Mang. „scribe -τέραν") διὰ πολλά.

16 sqq. πρῶτον μὲν — ἡ βλαβερωτάτησ ἡδονῆσ: his multo pauciora codex Hoeschelii sic habet: πρῶτον μὲν ἐγκράτεια, ἣν ἀεὶ παραγγέλλει, διά τε γλώττησ — γαστέρα ἐπιδείκνυσθαι, νυνὶ διαφερόντωσ κελεύει, ἐξαίρετον — σιτίων γάρ τοι (Mang. „scribe τισ") καὶ ποτῶν (Laur. πότων) — τίνα οὐκ ἂν — περισσῶν;

16 δι' ἐγκράτειαν: δι' in codice non est. Sequitur δεύτερον δ' ὅτι et τρίτον δὲ διὰ τὸν καιρόν.

ἀναθεὶσ αὐτῇ. σιτίων γάρ τισ καὶ ποτῶν μαθὼν ἀλογεῖν τῶν οὕτωσ ἀναγκαίων, τίνοσ οὐκ ἂν ὑπερίδοι τῶν περιττῶν, ἃ γέγονεν οὐ διαμονῆσ καὶ σωτηρίασ εἵνεκα μᾶλλον ἢ βλαβερωτάτησ ἡδονῆσ; δεύτερον δ' ὅτι πᾶσα ἀνάκειται λιταῖσ καὶ ἱκεσίαισ, περὶ μηδὲν ἕτερον ἄχρισ ἑσπέρασ ἐξ ἑωθινοῦ τῶν ἀνθρώπων σχολὴν ἀρόντων ἢ δεητικωτάτασ εὐχάσ, αἷσ σπουδάζουσι τὸν θεὸν ἐξευμενίζεσθαι, παραίτησιν ἁμαρτημάτων ἑκουσίων τε καὶ ἀκουσίων αἰτούμενοι, καὶ χρηστὰ ἐλπίζοντεσ οὐ δι' αὐτοὺσ ἀλλὰ διὰ τὴν ἵλεων φύσιν τοῦ συγγνώμην πρὸ κολάσεωσ ὁρίζοντοσ. τρίτον δὲ διὰ τὸν καιρὸν ἐν ᾧ συμβέβηκε τὴν νηστείαν ἄγεσθαι· κατὰ γὰρ τοῦτον ἤδη συγκεκόμισται πάνθ' ὅσα δι' ἔτουσ ἤνεγκεν ἡ γῆ. τὸ μὲν οὖν εὐθὺσ ἐμφορεῖσθαι τῶν γεγονότων ἀπληστίασ ὑπέλαβεν ἔργον εἶναι, τὸ δὲ νηστεῦσαι καὶ τροφῆσ μὴ προσάψασθαι παντελοῦσ εὐσεβείασ, ἥτισ ἀναδιδάσκει τὴν διάνοιαν μὴ πεποιθέναι τοῖσ εὐτρεπισθεῖσι καὶ παρεσκευασμένοισ ὡσ ὑγείασ ἢ ζωῆσ αἰτίοισ. ταῦτα γὰρ καὶ παρόντα πολλάκισ ἔβλαψε καὶ μὴ παρόντα ὤνησε. μόνον οὐκ ἄντικρυσ, κἂν μηδὲν τῇ φωνῇ φθέγγωνται τὸ παράπαν, οἱ μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν ἀπεχόμενοι σιτίων καὶ ποτῶν ἐκβοῶσι ταῖσ ψυχαῖσ καί φασι ταῦτα· τὰσ μὲν τῆσ φύσεωσ χάριτασ εἰλήφαμεν ἄσμενοι καὶ ταμιευόμεθα, φθαρτὸν δὲ οὐδὲν ἐπιγραφόμεθά ποτε

3—9 δεύτερον δ' — ὁρίζοντοσ: edd. δεύτερον δὲ ἐπειδὴ πᾶσ (Mang. addi voluit λαόσ) ἀνάκειται — ἐξ ἑωθινοῦ ἀνθρώπων — ἢ δεκτικωτάταισ εὐχαῖσ (Mang. „melius δεκτικωτάτασ εὐχάσ") — ἁμαρτημάτων αἰτούμενοι — δι' ἑαυτοὺσ — ὁρίζοντοσ.

8 δι' αὐτοὺσ: ita codex (non αὑτοὺσ), quod cum usu scriptorum Novi Testamenti convenit. Cf. N. T. mei ed. VII. crit. mai. p. LVIII sq. Paullo post pro ἵλεων in codice est ἵλεω.

9—14 τρίτον δὲ — ζωῆσ αἰτίοισ: edd. τρίτον δὲ — πάντα ὅσα — τοῖσ εὐτρεπισθεῖσιν ὡσ ὑγιείασ ἢ ζωῆσ αἰτίοισ.

9 δὲ: Laur. non habet

13 ἀναδιδάσκει: Laur. ἅμα διδάσκει

15 sqq. pro ταῦτα γὰρ — οἱ μετὰ edd. nil nisi οὐκοῦν οἱ μετὰ

16 sqq. οἱ μετὰ τὴν — διαφυλάττειν: edd. οἱ μετὰ — σιτίων μονονουχὶ βοῶσι· τὰσ μὲν τῆσ — ταμιευσόμεθα — διαμονῆσ αἴτιον (sed Hoesch. ex codice αἴταν exscripsit), ἀλλὰ τὸν σωτῆρα, τὸν ἐν τῷ κόσμῳ θεόν, ᾧ καὶ — διαφυλάττειν.

τῆσ ἡμετέρασ διαμονῆσ αἴτιον, ἀλλὰ τὸν γενέτην καὶ πατέρα καὶ σωτῆρα τοῦ τε κόσμου καὶ τῶν ἐν κόσμῳ θεόν, ᾧ καὶ διὰ τούτων καὶ ἄνευ τούτων τρέφειν θέμισ καὶ διαφυλάττειν· ἰδοὺ γὰρ καὶ τοὺσ ἡμετέρουσ προγόνουσ μυριάσι πολλαῖσ ἐρήμην ἀτριβῆ καὶ πᾶσαν ἄγονον διεξιόντασ γενεᾶσ βίον ἔτη μʹ διέθρεψεν, ὡσ ἐν βαθυγειοτάτῃ καὶ εὐφορωτάτῃ χώρᾳ, πηγὰσ μὲν τότε πρῶτον ἀνατεμὼν εἰσ ἄφθονον ποτοῦ χρῆσιν, ὕων δὲ τροφὴν ἐξ οὐρανοῦ μήτε πλείονα μήτ' ἐλάττονα τῆσ διεξαρκούσησ εἰσ ἑκάστην ἡμέραν, ἵνα ἀταμιεύτοισ χρώμενοι τοῖσ ἀναγκαίοισ μὴ πωλῶσιν ἀψύχων, ὧν ἂν ἐθησαυρίσαντο, τὰσ ἀγαθὰσ ἐλπίδασ, ἀλλὰ μικρὰ φροντίζοντεσ τῶν χορηγουμένων τὸν χορηγὸν θαυμάζωσι καὶ προσκυνῶσι καὶ τοῖσ ἁρμόττουσιν ὕμνοισ καὶ εὐδαιμονισμοῖσ γεραίρωσιν. ἡ δὲ ἡμέρα τῆσ νηστείασ ἄγεται νόμου προστάξει δεκάτῃ μηνὸσ ἀεί. διατί δὲ ἐν τῇ δεκάτῃ; ὡσ ἐν τοῖσ περὶ αὐτῆσ λόγοισ ἠκριβώσαμεν, ὀνομάζεται μὲν ὑπὸ σοφῶν ἀνδρῶν παντέλεια, περιέχει δ' ἐν αὐτῇ τὰσ ἀναλογίασ πάσασ, τήν τε ἀριθμητικὴν καὶ τὴν ἁρμονικὴν καὶ τὴν γεωμετρικήν· καὶ προσέτι τὰσ ἁρμονίασ, ἐπίτριτον τὴν διὰ δʹ καὶ ἡμιόλιον τὴν διὰ εʹ καὶ διπλασίαν τὴν διὰ πασῶν καὶ τετραπλασίαν τὴν δὶσ διὰ πασῶν. ἔχει δὲ καὶ τὸν ἐπόγδοον λόγον, ὡσ εἶναι πλήρωμα τῶν κατὰ μουσικὴν θεωρημάτων τελειότατον, ἀφ' οὗ καὶ ὠνόμασται παντέλεια. τὴν οὖν σιτίων καὶ ποτῶν ἔνδειαν προστέτακται κατ' ἀριθμὸν τέλειον καὶ πλήρη γίνεσθαι τῖσ δεκάδοσ διὰ τὰσ τοῦ ἀρίστου τῶν ἐν ἡμῖν ἀρίστασ τροφάσ, ἵνα

3—12 ἰδοὺ γὰρ καὶ — γεραίρωσιν: ista omnia codex Hoeschelii paucissimis his absolvit: ἰδοὺ γοῦν καὶ τοὺσ προγόνουσ ἐν ἐρήμῳ ἔτη τεσσαράκοντα διέθρεψεν.

12—20 ἡ δὲ ἡμέρα — ὠνόμασται παντέλεια: istorum edd. nil praeter haec habent: ἡ δὲ ἡμέρα τῆσ νηστείασ ἄγεται δεκάτου (Mang. „scribe δεκάτῃ") μηνόσ, ὅτι ἡ δεκὰσ παντέλεια.

20 sqq. τὴν οὖν σιτίων — ἀνακοπὴν βραχεῖαν: edd. τὴν οὖν σιτίων ἔνδειαν προστέταχε κατ' ἀριθμὸν τέλειον γίνεσθαι διὰ τὰσ τοῦ ἀρίστου τοῦ ἐν — λιμὸν τὸ πάντων ἀφορητότατον κακὸν — βραχεῖαν.

21 προστέτακται: codex προστέταχε καὶ, sed super χε eadem manu κται scriptum est.

μηδεὶσ ὑπολάβῃ λιμὸν τὸ πάντων κακῶν ἀφορητότατον εἰσηγεῖσθαι τὸν ἱεροφάντην, ἀλλὰ τῆσ εἰσ τὰσ τοῦ σώματοσ δεξαμενὰσ φερομένησ ἐπιρροῆσ ἀνακοπὴν βραχεῖαν. οὕτωσ γὰρ ἔμελλε διαυγὲσ καὶ καθαρὸν τὸ ἀπὸ τῆσ λογικῆσ πηγῆσ εἰσ καθαρὰν ἔτι ψυχὴν φέρεσθαι νᾶμα λείωσ, ἐπειδήπερ αἱ συνεχεῖσ καὶ ἐπάλληλοι τροφαὶ κατακλύζουσαι τὸ σῶμα καὶ τὸν λογισμὸν προσεπισύρουσιν· εἰ δὲ ἐπισχεθεῖεν, εὖ μάλα στηριχθεὶσ ὡσ ἐπὶ ξηρᾶσ ἀτραποῦ καὶ λεωφόρου τὴν πορείαν ἄπταιστον δυνήσεται ποιεῖσθαι, τῶν θέασ καὶ ἀκοῆσ ἀξίων ἐφιέμενοσ. ἄλλωσ τε ἁρμόττον ἦν τῶν εἰσ εὐθηνίαν ἁπάντων κατὰ νοῦν κεχωρηκότων ἐπὶ τελείοισ καὶ πλήρεσιν ἀγαθοῖσ ἐν εὐετηρίᾳ καὶ χορηγιῶν ἀφθονίᾳ λαβεῖν ἐνδείασ ὑπόμνησιν ἀποχῇ σιτίων καὶ ποτῶν, καὶ λιτὰσ καὶ ἱκεσίασ ποιεῖσθαι, ἅμα μὲν τοῦ μὴ εἰσ ἀληθῆ πεῖραν ἐλθεῖν ἀπορίασ τῶν ἀναγκαίων, ἅμα δὲ καὶ εὐχαριστοῦντασ ὅτι ἐν ἀγαθῶν περιουσίᾳ μέμνηνται κακῶν οὐ γενομένων. τούτων μὲν δὴ ἅλισ.

ΕΟΡΤΗ ΣΚΗΝΩΝ.

Τελευταία δ' ἐστὶν ἑορτὴ τῶν ἐνιαυσίων προσαγορευομένη σκηναί, καιρὸν ἔχουσα τὸν μετοπωρινῆσ ἰσημερίασ. ἐξ οὗ δύο παρίστα-

---

3—8 οὕτωσ γὰρ — ἀξίων ἐφιέμενοσ: edd. οὕτω γὰρ ἔμ. διαυγὲσ τὸ ἀπὸ τῆσ λογ. πηγῆσ ἐπὶ ψυχὴν φέρεσθαι — αἱ συνεχεῖσ τροφαὶ — εἰ δ' ἐπισχ. — ξηρᾶσ ἀτραποῦ τὴν πορείαν δυνήσεται ἄπταιστον ποιεῖσθαι.

4 εἰσ καθαρὰν ἔτι ψυχὴν: codex εἰσ καθαρὸν ἐπὶ ψυχὴν. Si quis ἐπὶ ψυχὴν retinere maluerit, delenda erunt εἰσ καθαρὸν.

6 προσεπισύρουσιν: ita (cum cod. Hoesch.) Laur. in margine, in textu ἐπισύρουσιν

9—14 ἄλλωσ τε usque ad capitis finem codex Hoeschelii hunc in modum contraxit: ἄλλωσ τε ἁρμ. ἦν — ἐπὶ τελείοισ (Mang. „melius τελείωσιν") ἐν χορηγιῶν ἀφθονίᾳ — ἀποχῇ σιτίων, καὶ λιτὰσ ποιεῖσθαι ὑπὲρ τοῦ μὴ εἰσ ἀληθῆ — τῶν ἀναγκαίων.

9 κατὰ νοῦν cum cod. Hoesch. scripsimus, Laur. εἰσ νοῦν

17 sqq. Τελευταία δ' — τῶν ἀγαθῶν αἰτίῳ codex Hoesch. in haec pauca contraxit: τελευταία δ' — ἐνιαυσιαίων — καιρὸν ἔχουσαι — ἰσότητα τιμᾶν τὴν δικαιοσύνησ ἀρχὴν καὶ ἀσκίου φωτὸσ συγγενῆ, καὶ τὸ προσήκειν μετὰ τὴν ἁπάντων καρπῶν τελείωσιν εὐχαριστοῦντασ τῷ τελεσφόρῳ.

17 προσαγορευομένη: codex προσαγορευόμεναι

ται, τό τε δεῖν ἰσότητα τιμᾶν ἀνισότητα ἐχθραίνοντασ· ἡ μὲν γὰρ δικαιοσύνησ ἐστίν, ἡ δὲ ἀδικίασ ἀρχή τε καὶ πηγή, καὶ ἡ μὲν ἀσκίου φωτόσ, ἡ δὲ σκότουσ συγγενήσ· καὶ τὸ προσήκειν μετὰ τὴν τῶν καρπῶν τελείωσιν εὐχαριστεῖν τῷ τελεσφόρῳ θεῷ καὶ πάντων τῶν ἀγαθῶν αἰτίῳ. τὸ μὲν γὰρ μετόπωρον, ὡσ καὶ αὐτὸ δήπου δηλοῖ τοὔνομα, καιρὸσ ὁ μετὰ τὴν ὀπώραν ἐστὶν ἤδη συγκεκομισμένην καὶ φόρουσ τοὺσ ἐτησίουσ καὶ δασμοὺσ τοὺσ ἀναγκαίουσ εἰσενηνοχότων σπαρτῶν τε καὶ τῶν δένδρων, καὶ τῆσ γῆσ ὅσασ τροφὰσ ἐγέννησε ταῖσ τῶν ἀμυθήτων ζώων ἰδέαισ ἡμέρων τε καὶ ἀγρίων ἀφθόνωσ παρεσχημένησ, οὐ μόνον εἰσ τὴν ἐν χερσὶ καὶ πρόσκαιρον ἀπόλαυσιν, ἀλλὰ καὶ τὴν ὕστερον διὰ τὸ προμηθὲσ τῆσ φιλοζώου φύσεωσ. καὶ μὴν ἐν σκηναῖσ προστέτακται τὸν χρόνον διαιτᾶσθαι τῆσ ἑορτῆσ, ἤτοι διὰ τὸ μηκέτι εἶναι χρείαν ἐν ὑπαίθρῳ διάγειν τὰ περὶ γεωργίαν ἐκπονοῦντασ, οὐδενὸσ μὲν ὑπολειφθέντοσ ἔξω, πάντων δὲ καρπῶν ἐναποκειμένων σιροῖσ καὶ τοιουτοτρόποισ χωρίοισ διὰ τὰσ εἰωθυίασ βλάβασ παρακολουθεῖν ἔκ τε φλογώσεωσ ἡλιακῆσ καὶ φορᾶσ ὑετῶν. ὅτε μὲν γὰρ ἐν πεδίοισ ἐστὶ τὰ τρέφοντα, μὴ συγκλεισάμενοσ θαλαμαίου γυναικὸσ τρόπον, ἀλλὰ προελθὼν ἐπιμελητὴσ καὶ φύλαξ εἶ σὺ τῶν ἀναγκαίων, κἂν ὑπαιθρίῳ διατελοῦντί σοι προσπίπτῃ κρυμὸσ καὶ θάλποσ, εἰσὶν ἔφεδροι σκιαὶ τὰ λάσια τῶν δένδρων, οἷσ ὑποστείλασ τὴν ἀφ᾽ ἑκατέρου δυνήσῃ βλάβην εὐμαρῶσ ἐκφυγεῖν. ὅταν δ᾽ οἱ καρποὶ πάντεσ εἰσκομίζωνται, συνεισέρχου στεγανωτέρασ διαίτησ ἐφιξόμενοσ πρὸσ ἀνάπαυλαν ἀντὶ καμάτων, οὓσ γεωπονῶν ὑπέμεινασ. ἢ δι᾽ ὑπόμνησιν τῆσ τῶν προγόνων

---

1 τό τε δεῖν: corrupte codex τό τε λίαν

5—11 τὸ μὲν γὰρ — φιλοζώου φύσεωσ: edd. nil nisi haec: τὸ γὰρ μετόπωρον, ὡσ αὐτό που δηλοῖ τοὔνομα—συγκεκομισμένην, διὰ τὸ προμηθὲσ τῆσ φιλοζώου φύσεωσ.

11—16 καὶ μὴν ἐν — φορᾶσ ὑετῶν: edd. καὶ μὴν ἐν—διαιτᾶσθαι τὸν χρόνον τῆσ ἑορτῆσ — ὑπολειφθέντοσ, ἁπάντων δὲ σμή (Mang. „forsan σπερμάτων") ἐναποκειμένων σιροῖσ (Laur. σωροῖσ) διὰ τὰσ—ὑετῶν.

16—23 ὅτε μὲν γὰρ — γεωπονῶν ὑπέμεινασ: horum nihil in codice Hoeschelii exstat.

19 κρυμὸσ: codex κρυμμὸσ

23 sqq. ἢ δι᾽ ὑπόμνησιν — ἐν πόλεσιν ἐρημίασ: edd. τὴν δὲ (Mang.

μακρᾶσ ὁδοιπορίασ, ἣν δι' ἐρήμου ποιούμενοι βαθείασ σκηναῖσ πολυετῆ χρόνον καθ' ἕκαστον σταθμὸν ἐνεδιαιτῶντο. προσήκει δὲ καὶ ἐν πλούτῳ πενίασ μεμνῆσθαι καὶ ἀδοξίασ ἐν δόξῃ καὶ ἐν ἡγεμονίαισ ἰδιωτικοῦ σχήματοσ καὶ ἐν εἰρήνῃ κινδύνων τῶν ἐν πολέμῳ καὶ ἐπὶ γῆσ χειμώνων τῶν κατὰ θάλασσαν καὶ ἐν πόλεσιν ἐρημίασ. ἡδονὴ γὰρ οὐκ ἔστι μείζων ἢ ἐν ταῖσ ἄγαν εὐπραγίαισ ἔννοιαν ἔχειν παλαιῶν ἀτυχημάτων. πρὸσ δὲ τῇ ἡδονῇ καὶ ὄφελοσ οὐ μικρὸν εἰσ ἀρετῆσ ἄσκησιν ἐγγίνεται. λαβόντεσ γὰρ πρὸ ὀφθαλμῶν τό τε εὖ καὶ τὸ χεῖρον, καὶ τὸ μὲν ἀπεωσμένοι, καρπούμενοι δὲ τὸ ἄμεινον, ἐξ ἀνάγκησ εὐχάριστοι γίνονται τὸ ἦθοσ καὶ πρὸσ εὐσέβειαν παρορμῶνται φόβῳ τῆσ πρὸσ τἀναντία μεταβολῆσ. ὅθεν καὶ ἐπὶ τοῖσ παροῦσιν ἀγαθοῖσ τὸν θεὸν ᾠδαῖσ καὶ λόγοισ γεραίρουσι, καὶ ὑπὲρ τοῦ μηκέτι πειραθῆναι κακῶν λιπαροῦσι καὶ ἱκεσίαισ ἐξευμενίζονται. πάλιν δὴ ταύτησ τῆσ ἑορτῆσ ἀρχὴ πεντεκαιδεκάτῃ μηνὸσ ἐνίσταται, διὰ τὴν λεχθεῖσαν καὶ ἐπὶ τῆσ ἐαρινῆσ ὥρασ αἰτίαν, ἵνα μὴ μεθ' ἡμέραν μόνον ἀλλὰ καὶ νύκτωρ πλήρησ ὁ κόσμοσ ᾖ τοῦ φύσει παγκάλου φωτόσ, ἡλίου καὶ σελήνησ κατ' ἐκείνην τὴν ἡμέραν ἀλλήλοισ ἐπανατελλόντων αὐγαῖσ ἀδιαστάτοισ, αἷσ μεθόριον οὐ διακρίνει σκότοσ. ἑπτὰ δὲ ἡμέραισ ὀγδόην ἐπισφραγίζεται, καλέσασ ἐξόδιον αὐτήν, οὐκ ἐκείνησ ὡσ ἔοικε μόνον τῆσ ἑορτῆσ, ἀλλὰ καὶ πασῶν τῶν ἐτησίων ὅσασ κατηριθμησά-

---

„omnino repone τήν τε") ὑπόμνησιν — ἣν δι' ἐρήμησ ποιούμενοι βαθείαισ (Mang. „scribe βαθείασ") σκηναῖσ πολυετοῦσ χρόνου (Mang. „forsan πολυετεῖσ χρόνουσ") καθ' ἕκαστον σταθμὸν ἐνδιαιτῶντο — ἀδοξίασ ἐν δόξῃ καὶ ἐν εἰρήνῃ κινδύνων.

1 βαθείασ (ut iam Mang. scribi voluit): Laur. (pariter ac Hoesch. codex) βαθείαισ

2 ἐνεδιαιτῶντο: rursus uterque codex ἐνδιαιτῶντο, quod Philonem scripsisse non credibile est.

5—13 ἡδονὴ γὰρ οὐκ — ἐξευμενίζονται: ista omnia in edd. desiderantur. ἡδονὴ γὰρ οὐκ ἔστι μείζων: codex ἡδονῆσ et μεῖζον

13 sqq. πάλιν δὴ — καὶ διεξῆλθον: edd. πάλιν δὲ — ᾖ τοῦ παγκάλου — αὐγαῖσ ἀδιαστίκτοισ (Mang. „melius ἀδιαστάτοισ") αἷσ (Mang. „scribe ἃσ") — οὐκ ἐκείνην (Mang. „omnino repone ἐκείνησ) ὡσ ἔοικε μόνον τῆσ ἑορτῆσ ἀλλὰ πασῶν τῶν ἐτησίων ὅσασ κατηριθμήσαμεν.

μην καὶ διεξῆλθον. τελευταία γάρ ἐστι τοῦ ἐνιαυτοῦ καὶ συμπέρασμα. τάχα μέντοι καὶ πρῶτος κύβος ὀγδοὰς ἐπενεμήθη ἑορτὴ διὰ τόδε· τῆς μὲν δυνάμει στερρᾶς οὐσίας ἐστὶν ἀρχὴ κατὰ τὴν ἀπὸ τῶν ἀσωμάτων μετάβασιν, τῆς δὲ νοητῆς συμπέρασμα· τὰ δὲ νοητὰ ταῖς παραυξήσεσι πρὸς τὴν στερεὰν φύσιν. καὶ ἡ μετοπωρινὴ μέντοι ἑορτή, καθάπερ εἶπον, πλήρωμά τι καὶ συμπέρασμα τῶν ἐντὸς ἐνιαυτοῦ πασῶν ἔοικεν εἶναι σταθερώτερον καὶ παγιώτερον, τὰς ἀπὸ τῆς χώρας προσόδους εἰληφότων ἤδη καὶ μηκέτ' ἐνδοιασμοῖς τοῖς περὶ φορᾶς καὶ ἀφορίας πιεζομένων καὶ δεδοικότων. αἵδρυτοι γὰρ αἱ γεηπόνων φροντίδες, ἄχρις ἂν οἱ καρποὶ συγκομισθῶσι διὰ τὰς ἐφέδρους ἀπὸ μυρίων ὅσων ἀνθρώπων τε καὶ θρεμμάτων ζημίας.

Ταῦτα ἐπὶ πλέον ἐμήκυνα διὰ τὴν ἱερὰν ἑβδόμην, ἐπιδείξασθαι βουλόμενος ὅτι πάσας τὰς ἐτησίους ἑορτὰς συμβέβηκεν ὡς ἂν ἀπογόνους ἑβδομάδος εἶναι, μητρὸς λόγον ἐχούσης.

... ἀφροσύναι καὶ εὐφροσύναι. καὶ διότι ἐν πανηγύρεσι καὶ ἱλαρῷ βίῳ τέρψεις ἀμέτοχοι συννοίας καὶ κατηφείας συνίστανται, σῶμα καὶ ψυχὰς ἀνασχοῦσαι, τὰς μὲν τῷ ἁβροδιαίτῳ, τὰς δὲ τῷ φιλοσοφεῖν.

1—7 τελευταία γάρ ἐστι — σταθερώτερον: post verba τελευταία γάρ ἐστι τοῦ ἐνιαυτοῦ καὶ συμπέρασμα codex Hoesch. statim pergit σταθερώτερον, mediis omnibus praetermissis.

2—5 τάχα μέντοι — πρὸς τὴν στερεὰν φύσιν: haec damus ut codex praebet, at vitiosa esse apparet. Nec integra videntur.

7—9 σταθερώτερον — δεδοικότων: edd. σταθερώτερον καὶ ἁγιώτερον (Mang. „scribendum videtur παγιώτ."), τὰς ἀπὸ — πλαζομένων καὶ δεδιότων.

7 σταθερώτερον: Laur. σταδεώτερον, unde σταδαιότερον effici possit. At illud Hoesch. codex suppeditat.

8 ἐνδοιασμοῖς τοῖς: Laur. ἐνδοιασμοὺς τούς. Idem pariter atque Hoesch. codex πλαζομένων, cuius loco iam Mang. πιεζομένων reponendum esse duxit.

9—11 αἵδρυτοι — θρεμμάτων ζημίας: desunt in edd.

12—14 Ταῦτα — λόγον ἐχούσης iam ex Hoesch. codice edita sunt, nisi quod ille ἑβδομάδα pro ἑβδόμην habet.

Extrema inde ab ἀφροσύναι primus edidit ex Laur. codice Ang. Maius.

ΚΑΡΤΑΛΟΥ ΠΑΝΗΓΥΡΙC.

Ἔστι δέ τισ παρὰ ταύτασ ἑορτὴ μὲν θεοῦ, ἑορτῆσ δὲ πανήγυρισ, ἣν καλοῦσι κάρταλον ἀπὸ τοῦ συμβεβηκότοσ, ὡσ μικρὸν ὕστερον ἀποδείξομεν. τὸ μὲν οὖν μὴ ἑορτῆσ ἔχειν ἀξίωμα καὶ τάξιν δῆλον ἐκ πολλῶν· οὔτε γὰρ τοῦ ἔθνουσ ἐστὶν ὡσ πάνδημοσ, οἷαι τῶν ἄλλων ἑκάστη, οὔτε τι τῶν προσαγομένων ἢ προσφερομένων ἐπὶ τὸν βωμὸν καθαγιάζεται, παραδιδόμενον τῷ ἀσβέστῳ πυρὶ καὶ ἱερῷ, οὔθ' ἡμερῶν ἀριθμὸσ ὃν χρὴ ἑορτάζειν εἴρηται.

Τὸ δ' ἑορτώδη τύπον ἔχειν καὶ ἐγγὺσ ἑστιᾶσθαι πανηγυρικῆσ ἀδείασ εὐμαρῶσ κατίδοι τισ ἄν. ἕκαστοσ γὰρ τῶν ἀγροὺσ καὶ κτήσεισ ἐχόντων ἀφ' ἑκάστου τῶν ἀκροδρύων εἴδουσ ἀγγεῖα πληρώσασ, καθάπερ ἔφην, ἃ προσαγορεύουσι καρτάλουσ, ἀπαρχὴν τῆσ εὐκαρπίασ εἰσ τὸ ἱερὸν κομίζει γεγηθώσ, καὶ στὰσ ἀντικρὺ τοῦ βωμοῦ δίδωσι τῷ ἱερεῖ, τὸ πάγκαλον καὶ θαυμάσιον ᾆσμα διεξιών, εἰ δὲ μὴ τύχοι μεμνημένοσ, ἀκούων παρὰ τοῦ ἱερέωσ μετὰ προσοχῆσ πάσησ. ἔστι δὲ τοιόνδε ᾆσμα.

Συρίαν ἀπέβαλλον οἱ ἀρχηγέται τοῦ γένουσ ἡμῶν καὶ μετανέστησαν εἰσ Αἴγυπτον. ὀλίγοσ ὄντεσ ἀριθμὸσ ηὐξήθησαν εἰσ πλῆθοσ ἔθνουσ. οἱ ἀπόγονοι μυρία κακωθέντεσ ὑπὸ τῶν ἐγχωρίων, οὐδεμίασ ἔτι φαινομένησ ἐξ ἀνθρώπων ἐπικουρίασ ἐγένοντο θεοῦ ἱκέται, καταφυγόντεσ ἐπὶ τὴν ἐξ αὐτοῦ βοήθειαν. προσδεξάμενοσ

Sunt autem ibi sine ullo lacunae indicio cum eis quae praecedunt coniuncta. At dubium non est quin plura perierint; fortasse nec iusto loco posita sunt.

* καρταλου: sic codex nec uspiam aliter. Maius et in titulo et in textu καρτάλλου, κάρταλλον, καρτάλλουσ edidit.

3 παρὰ ταύτασ: ita scriptum est, non παρὰ ταῦτα, ut Maio visum erat.

4 κάρταλον: sic codex, ut iam diximus. Maius κάρταλλον

6 ἐστὶν ὡσ πάνδημοσ: sic. Male Maius: ἐστὶν ἀπάνδημοσ

10 τὸ δ': ita codex, non ut Maius τὸ δὲ

13 προσαγορεύουσι: ita codex. Vitiose Maius προσηγορεύουσι. De v. καρτάλουσ (apud Maium καρτάλλουσ) iam dictum est.

20 μυρία: hoc accentu ipse codex utitur. Maius μύρια edidit.

τὴν ἱκεσίαν ὁ πᾶσι τοῖσ ἀδικουμένοισ εὐμενὴσ τοὺσ μὲν ἐπιτιθεμένουσ κατέπληξε σημείοισ καὶ τέρασι καὶ φάσμασι καὶ τοῖσ ἄλλοισ ὅσα κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐθαυματουργεῖτο, τοὺσ δὲ ἐπηρεαζομένουσ καὶ πάσασ ὑπομένοντασ ἐπιβουλὰσ ἐρρύσατο, οὐ μόνον εἰσ ἐλευθερίαν ἐξελόμενοσ, ἀλλὰ καὶ χώραν πάμφορον δούσ. ἀπὸ τῶν ταύτησ καρπῶν, εὐεργέτα, σοὶ φέρομεν τὴν ἀπαρχήν, εἰ δὴ θέμισ εἰπεῖν ἐστὶ κομίζειν τὸν λαμβάνοντα. σαὶ γάρ, ὦ δέσποτα, χάριτεσ καὶ δωρεαὶ τὰ πάντα, ὧν ἀξιωθέντεσ ἐναβρυνόμεθα καὶ ἐνευφραινόμεθα τοῖσ ἀπροσδοκήτοισ ἀγαθοῖσ, ἅπερ οὐκ ἐλπίσασιν ἡμῖν ἔδωκασ.

Τὸ ᾆσμα τοῦτο σχεδὸν ἀπὸ θέρουσ ἐνισταμένου μέχρι μετοπώρου λήγοντοσ ἀδιαστάτωσ ὑφ᾽ ἑτέρων καὶ ἑτέρων ᾄδεται δυσὶ καιροῖσ, ὁλοκλήρῳ μέρει ἡμίσει τοῦ ἐνιαυτοῦ, διὰ τὸ μὴ πάντασ ἀθρόουσ κατὰ ῥητὴν προθεσμίαν τὰ ὡραῖα δύνασθαι κομίζειν, ἀλλ᾽ ἄλλοτε ἄλλουσ, ἔστι δ᾽ ὅτε καὶ τοὺσ αὐτοὺσ ἀπὸ τῶν αὐτῶν χωρίων. ἐπειδὴ γὰρ τῶν καρπῶν οἱ μὲν θᾶττον, οἱ δὲ βραδύτερον πεπαίνονται, καὶ διὰ τὰσ τῶν τροπῶν διαφορὰσ ἀλεεινοτέρων ἢ κρυμωδεστέρων ὄντων καὶ διὰ μυρίασ ἄλλασ αἰτίασ εἰκότωσ ἀόριστόσ ἐστι καὶ ἀπερίγραφοσ ὁ χρόνοσ τῆσ τῶν ἀκροδρύων ἀπαρχῆσ ἐπὶ μήκιστον ἐκτεινόμενοσ. ἡ δὲ τούτων χρῆσισ ἐπιτέτραπται τοῖσ ἱερεῦσιν, ἐπεὶ γῆσ μὲν ἀποτομὴν οὐκ ἔλαχον, οὐδὲ προσοδευομένασ κτήσεισ. κλῆροι δ᾽ εἰσὶν αὐτοῖσ αἱ παρὰ τοῦ ἔθνουσ ἀπαρχαὶ ἀντὶ τῶν λειτουργιῶν, ἃσ μεθ᾽ ἡμέραν καὶ νύκτωρ ὑπομένουσι.

---

7 δὴ: ita scribendum videbatur pro δὲ, quod codex et Maius habent.

9 ἐνευφραινόμεθα: ita codex. Male Maius εὐφραινόμεθα. Ibidem ἀγαθοῖσ: sic ipse codex. Maius compendio non satis perspecto ἀγαθοῦ tribuit codici.

12 ἀδιαστάτωσ: ita codex. Male Maius ἀδιάστατον

17 τροπῶν: sic scriptum, nec mutandum est. Maius edidit τόπων, addita hac nota: „cod. τρόπων, quam lectionem prorsus non contemno.“ At codex τροπῶν, ac recte quidem, non τρόπων.

21 haec apud Maium sic legebantur: ἐπεὶ τῆσ μὲν ἀποτομῆσ οὐκ ἔλαχον οὐδὲ προσοδευομένησ κτήσεωσ, addita hac nota: „codex, si bene memini, habet προσοδευομένασ κτήσεισ.“ Atque hoc quidem recte ille meminit. At prae-

Τοσαῦτα μὲν περὶ ἑβδομάδοσ καὶ τῶν εἰσ αὐτὴν ἀναφερομένων ἔν τε ἡμέραισ καὶ μησὶ καὶ ἐνιαυτοῖσ, καὶ περὶ ἑορτῶν, αἳ συγγένειαν ἔχουσι πρὸσ ἑβδομάδα, διεξῆλθον, ἑπόμενοσ εἱρμῷ τῶν προκειμένων κεφαλαίων κατὰ τὴν ἐν λόγοισ ἀκολουθίαν. ἐπισκέψομαι δ' ἑξῆσ τὸ ἑπόμενον ὃ περὶ γονέων ἀναγέγραπται τιμῆσ.

ΠΕΡΙ ΓΟΝΕΩΝ ΤΙΜΗΣ.

Τέτταρα εἴδη πρότερον ὑπειπών, ἃ καὶ τῇ τάξει καὶ τῇ δυνάμει πρῶτα ἦν ὡσ ἀληθῶσ, τό τε περὶ μοναρχίασ ᾗ μοναρχεῖται ὁ κόσμοσ, καὶ τὸ περὶ τοῦ μηδὲν ἀπεικόνισμα καὶ μίμημα δημιουργεῖν θεοῦ, καὶ τὸ περὶ τοῦ μὴ ψευδορκεῖν ἢ συνόλωσ μάτην ὀμνύναι, καὶ τὸ περὶ τῆσ ἱερᾶσ ἑβδόμησ, ἅπερ σύμπαντα τείνει πρὸσ εὐσέβειαν καὶ ὁσιότητα, μέτειμι ἐπὶ τὸ πέμπτον τὸ περὶ γονέων τιμῆσ, ὅ, καθάπερ ἐν τοῖσ ἰδίᾳ περὶ αὐτοῦ λόγοισ ἔδειξα, μεθόριον ἀνθρωπείων τε καὶ θείων. οἱ γὰρ γονεῖσ μεταξὺ θείασ καὶ ἀνθρωπίνησ φύσεώσ εἰσι, μετέχοντεσ ἀμφοῖν· ἀνθρωπίνησ μέν, ὡσ ἔστι δῆλον, ὅτι καὶ γεγόνασι καὶ φθαρήσονται, θείασ δέ, ὅτι γεγεννήκασι καὶ τὰ μὴ ὄντα εἰσ τὸ εἶναι παρήγαγον. ὅπερ γὰρ οἶμαι θεὸσ πρὸσ κόσμον, τοῦτο πρὸσ τέκνα γονεῖσ, ἐπειδὴ ὡσ ἐκεῖνοσ τῷ μὴ ὑπάρχοντι ὕπαρξιν κατειργάσατο, καὶ οὗτοι μιμούμενοι καθ' ὅσον οἷόν τε τὴν ἐκείνου δύναμιν τὸ γένοσ ἀθανατίζουσιν.

Ἄξιοι δ' οὐ διὰ τοῦτο μόνον τιμῆσ πατήρ τε καὶ μήτηρ, ἀλλὰ καὶ δι' ἕτερα πλείω. παρ' οἷσ γὰρ λόγοσ ἀρετῆσ ἐστί, πρεσβύτεροι νεωτέρων προκρίνονται καὶ διδάσκαλοι γνωρίμων καὶ εὐεργέται τῶν εὖ πεπονθότων καὶ ἄρχοντεσ ὑπηκόων καὶ δεσπόται δούλων. ἐν μὲν

---

cedit etiam ἀποτομὴν, non ἀποτομῆσ. In errorem vero ductus est eo quod non tam γῆσ, quod omnino scribi debebat, quam τῆσ scriptum videbatur.

4 δ' ἑξῆσ: ita codex, non ut Maius δὲ ἑξῆσ

10 θεοῦ: ita codex. Male Maius θεὸν

11 ὀμνύναι: hoc accentu utitur codex, Maius ὀμνῦναι. Ibidem περὶ τῆσ ἱερᾶσ: ita codex. Maius τῆσ praetermisit. σύμπαντα quod sequitur suprascripto ϊ in συμπαντϊ mutatur. At nihil mutandum erat.

15 φύσεωσ in codice omissum est. Recte iam Maius supplevit.

18 τοῦτο: ita codex. Male Maius οὕτωσ

21 διὰ τοῦτο: ita codex. Male Maius δι' αὐτὸ

οὖν τῇ ἀμείνονι τάξει κρίνονται γονεῖσ, πρεσβύτεροι γάρ εἰσι καὶ ὑφηγηταὶ καὶ εὐεργέται καὶ ἄρχοντεσ καὶ δεσπόται· ἐν δὲ τῇ ἐλάττονι υἱοὶ καὶ θυγατέρεσ, νεώτεροι γὰρ καὶ μαθηταὶ καὶ εὖ πεπονθότεσ ὑπήκοοί τε καὶ δοῦλοι. ὡσ δ' οὐδὲν τούτων κατέψευσται, δῆλον μὲν ἐκ τῆσ ἐνεργείασ· αἱ δ' ἐκ λόγου πίστεισ ἔτι μᾶλλον ἐπισφραγιοῦνται τὴν ἀλήθειαν.

Λέγω τοίνυν ὅτι τὸ ποιοῦν τοῦ γινομένου καὶ τὸ αἴτιον οὗπερ ἐστὶν αἴτιον ἀεὶ πρεσβύτερόν ἐστιν· οἱ δὲ γεννήσαντεσ αἴτιοι καὶ δημιουργοὶ τρόπον τινὰ τῶν γεννηθέντων εἰσί. καὶ οἱ μὲν ὑφηγητῶν ἔχουσι τάξιν, ὅσαπερ ἂν εἰδότεσ τυγχάνωσι τοὺσ παῖδασ ἐκ πρώτησ ἀναδιδάξαντεσ ἡλικίασ, καὶ οὐ μόνον τὰ περὶ τὰσ ἐπιστήμασ ἀσκοῦσι καὶ γυμνάζουσιν ἐναποματτόμενοι λογισμοὺσ ἀκμάζουσι παίδων, ἀλλὰ καὶ τὰ ἀναγκαιότατα τῶν πρὸσ αἱρέσεισ καὶ φυγάσ, αἱρέσεισ μὲν ἀρετῶν, φυγὰσ δὲ κακιῶν καὶ τῶν κατ' αὐτὰσ ἐνεργειῶν. εὐεργέται μέντοι τίνεσ ἂν εἶεν μᾶλλον ἢ παίδων γονεῖσ, οἳ καὶ μὴ ὄντασ εἰργάσαντο, καὶ αὖθισ τροφῆσ ἠξίωσαν, καὶ μετὰ ταῦτα παιδείασ τῆσ κατά τε σῶμα καὶ ψυχήν, καὶ ἵνα μὴ μόνον ζῶσιν ἀλλὰ καὶ εὖ ζῶσι; τὸ μὲν οὖν σῶμα διὰ τῆσ γυμναστικῆσ καὶ ἀλειπτικῆσ ὠφέλησαν εἰσ εὐτονίαν τε καὶ εὐεξίαν, σχέσεισ τε καὶ κινήσεισ εὐμαρεῖσ, οὐκ ἄνευ ῥυθμοῦ καὶ τοῦ πρέποντοσ, τὴν δὲ ψυχὴν διά τε γραμμάτων καὶ ἀριθμῶν, γεωμετρίασ τε καὶ μουσικῆσ καὶ τῆσ συμπάσησ φιλοσοφίασ, ἣ τὸν νοῦν εἰσῳκισμένον θνητῷ σώματι μετέωρον αἴρουσα παραπέμπει μέχρισ οὐρανοῦ καὶ τὰσ ἐν αὐτῷ μακαρίασ καὶ εὐδαίμονασ φύσεισ ἐπιδείκνυται, ζῆλον ἅμα καὶ πόθον ἐνεργαζομένη τῆσ ἀτρέπτου καὶ ἐναρμονίου τάξεωσ, ἣν οὐδέποτε λείπουσι πειθόμενοι τῷ ταξιάρχῳ. πρὸσ δὲ ταῖσ εὐεργεσίαισ καὶ τὴν ἐφ' οἷσ ἐγέννησαν ἀρχὴν ἔλαβον, οὐχ ὥσπερ ἐν

---

11 περὶ τὰσ ἐπιστήμασ: ita omnino codex compendio usitatissimo. Maius miro errore περὶ τὸ ἐπίστημα edidit, nec quicquam mutarunt qui editionem repetierunt.

12 γυμνάζουσιν dedimus cum Maio, at in codice νεάζουσιν scriptum est.

14 κατ' αὐτὰσ: ita codex. Maius compendio falsus κατ' αὐτὸ edidit.

19 σχέσεισ: ita codex, non ut Maius legit σχήσεισ

ταῖσ πόλεσι κατὰ κλῆρον ἢ χειροτονίαν, ὥσ αἰτιᾶσθαι δύνασθαι τὸν μὲν ὀλίσθῳ τύχησ γενόμενον, οὐ σὺν λογισμῷ, τὴν δὲ ὄχλου πράγματοσ ἀνεξετάστου καὶ ἀνεπισκέπτου φορᾷ, γνώμῃ δὲ ἀρίστῃ καὶ τελειοτάτῃ τῆσ ἄνω φύσεωσ, ἣ καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα σὺν δίκῃ πρυτανεύεται.

Διὰ τοῦτ᾽ ἔξεστι τοῖσ πατράσι καὶ κατηγορεῖν πρὸσ τοὺσ παῖδασ καὶ ἐμβριθέστερον νουθετεῖν, καὶ εἰ μὴ ταῖσ δι᾽ ἀκοῶν ἀπειλαῖσ υπείκωσι, τύπτειν καὶ προπηλακίζειν καὶ καταδεῖν. ἂν μέντοιγε καὶ πρὸσ ταῦτα ἀφηνιάζωσι, τῇ ῥύμῃ τῆσ ἀνιάτου μοχθηρίασ ἀπαυχενίζοντεσ, ἐπέτρεψεν ὁ νόμοσ καὶ μέχρι θανάτου κολάζειν, ἀλλ᾽ οὐκέτι μόνῳ πατρὶ ἢ μόνῃ μητρί, διὰ τὸ μέγεθοσ τῆσ τιμωρίασ, ἣν οὐκ ἄξιον ὑφ᾽ ἑνὸσ ἀλλ᾽ ὑπ᾽ ἀμφοῖν δικασθῆναι· συμφρονῆσαι γὰρ οὐκ εἰκὸσ ἐπ᾽ ἀναιρέσει τοῦ παιδὸσ ἑκάτερον τῶν γονέων, μὴ βαρυνόντων καὶ καθελκόντων τῶν ἀδικημάτων ὁλκῇ τινὶ βεβαίῳ νικώσῃ τὴν ἐκ φύσεωσ ἐνιδρυμένην πάγιον εὔνοιαν. ἀλλ᾽ οὐκ ἀρχὴν μόνον καὶ ἡγεμονίαν τὴν ἐπὶ τέκνοισ, ἀλλὰ καὶ δεσπότειαν γονεῖσ ἔλαχον κατ᾽ ἄμφω τὰσ ἀνωτάτω θεραπόντων κτήσεωσ ἰδέασ, τήν τε ἐπ᾽ οἰκότριψι καὶ ἀργυρωνήτοισ· πολυπλασίουσ τε γὰρ τῆσ ἀξίασ τιμῆσ κατατιθέασιν εἴσ τε παῖδασ καὶ ὑπὲρ παίδων τιτθαῖσ καὶ παιδαγωγοῖσ καὶ διδασκάλοισ,

---

2 σὺν λογισμῷ: ita codex, sed supra ν scriptum habet λ, quo συλλογισμῷ efficitur. Maius συλλογισμῷ exscripsit. τὴν vero quod subsequitur rectissime codex praebet; Maius τὸν legit, falsus rursus compendio.

3 γνώμῃ δὲ ἀρίστῃ καὶ τελειοτάτῃ: ita correximus codicis scripturam, quam etiam Maius retinuit, γνώμησ δὲ ἀρίστησ καὶ τελειοτάτησ.

9 ἀπαυχενίζοντεσ cum Maio edidimus. At ipse codex ἐπαυχενίζοντεσ praebet.

10 cf. Deuteron. 21, 18 sqq.

11 πατρὶ et μητρὶ: ita omnino plene scribendum erat. Codex π̄ρι et μ̄ρι. Maius mirum in modum πατέρι et μητέρι edidit.

12 ὑπ᾽ ἀμφοῖν: male Maius ὑπ᾽ praetermisit.

13 ἐπ᾽ ἀναιρέσει: sic codex; Maius compendio falsus ἐπ᾽ ἀναιρέσεωσ

15 ἐνιδρυμένην: ita codex, non ut Maius ἐνεδρυμένην

17 ἀργυρωνήτοισ: ita codex, non ut Maius ἀργυρονήτοισ. Nec in codice est πολλαπλασίουσ, sed πολυπλασίουσ.

18 pro τιμῆσ nescio an τιμὰσ praestet. Sed utrumque scribi poterat.

δίχα τῶν εἰσ ἐσθῆτασ καὶ τροφὰσ καὶ τὴν ἄλλην ἐπιμέλειαν ὑγιαινόντων τε καὶ καμνόντων ἐκ πρώτησ ἡλικίασ μέχρι τελείασ, οἰκότριβέσ τε ἂν εἶεν οἱ μὴ μόνον οἴκοι γεννηθέντεσ, ἀλλὰ καὶ οἱ ὑπὸ τῶν τῆσ οἰκίασ δεσποτῶν, συνεισενεγκάντων τὰ πρὸσ γένεσιν φύσεωσ θεσμοῖσ εἰσφορὰν ἀναγκαίαν.

Τοσούτων οὖν ὑπαρχόντων ἄξιον ἐπαίνου μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντεσ γονεῖσ, ἐπεὶ καὶ ἕν τι τῶν εἰρημένων αὐταρκέστατον εἰσ σεβασμὸν αὐτοὺσ προκαλέσασθαι, ψόγου δὲ καὶ κατηγορίασ καὶ τῆσ ἀνωτάτω δίκησ οἱ μήθ' ὡσ πρεσβυτέρουσ αἰδούμενοι, μήθ' ὡσ ὑφηγητὰσ ἀποδεχόμενοι, μήθ' ὡσ εὐεργέτασ ἀμοιβῆσ ἀξιοῦντεσ, μήθ' ὡσ ἄρχουσι πειθαρχοῦντεσ, μήθ' ὡσ δεσπότασ εὐλαβούμενοι. πατέρα οὖν φησὶ μετὰ θεὸν καὶ μητέρα τίμα, δευτερείοισ τοῖσ γέρασιν ἀναδουμένουσ, ἅπερ ἡ φύσισ ἀπένειμεν αὐτοῖσ ἀθλοθετοῦσα. τιμήσεισ δ' ἐπ' οὐδενὶ μᾶλλον ἢ πειρώμενοσ ἀγαθόσ τε εἶναι καὶ δοκεῖν εἶναι, ὧν τὸ μὲν τὴν ἄτυφον καὶ ἄπλαστον ἀρετὴν ἐπιζητεῖ, τὸ δὲ τὴν σὺν ὑπολήψει χρη-

---

1 rursus Maius non intellexit scripturae compendia. Legit enim δίχα τῆσ εἰσ ἐσθῆτα καὶ τροφὴν, at in codice est: δίχα τῶν εἰσ ἐσθῆτασ καὶ τροφάσ, ut edidimus.

4 τὰ πρὸσ γένεσιν: ita in codice scriptum est, non, ut Maius edidit, τὴν πρὸσ γένεσιν.

6 sqq. Hunc locum suppleto ἐπαίνου ante μὲν οὐδὲν satis restituisse nobis videmur, postquam Angelus Maius non tam restituit quam deformavit. Edidit ille enim hunc in modum: τοσούτων οὖν ὑπαρχόντων, ἄξιον μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντεσ γονεῖσ; (hoc interrogationis signum edd. Richt. et Tauchn. post προκαλέσασθαι transponunt) ἐπεὶ καὶ ἕν τι τῶν εἰρημένων αὐταρκ. εἰσ σεβ. αὐτ. προκαλέσασθαι. ψόγου δὲ καὶ κατ. καὶ τῆσ ἀνωτάτησ δίκησ (οὐκ ἄξιοι) οἱ μήθ' ὡσ—εὐλαβούμενοι;

9 ἀνωτάτω: ita codex, non ut Maius ἀνωτάτησ

10 ἄρχουσι in codice est, non quod Maius edidit ἄρχουσιν

12 δευτερείοισ: Maius δευτεραίαν, at in codice perspicue scriptum est δευτερείοισ, syllaba οισ per compendium expressa. Hinc iam satis intellegitur neque τὴν γέρασιν, ut Maius voluit, sed τοῖσ γέρασιν legendum esse. Vertit Maius *secundum dignitatis locum tenentes.*

13 αὐτοῖσ: ita pro αὐτοὺσ reponendum videbatur.

14 δοκεῖν: ita codex notissimo compendio adhibito. Maius δοκῶν per errorem.

στῇ καὶ τῷ παρὰ τῶν συνόντων ἐπαίνῳ. μικρὰ γὰρ τῶν ἰδίων φροντίζοντεσ ὠφελειῶν τέλοσ εὐδαιμονίασ νομίζουσι τὴν τῶν παίδων καλοκἀγαθίαν, δι' ἣν καὶ τοῖσ προσταττομένοισ θελήσουσιν ὑπακούειν ἐκείνουσ καὶ ἐν ἅπασι καταπειθεῖσ εἶναι τοῖσ δικαίοισ καὶ συμφέρουσιν· οὐδὲν γὰρ ἀλλότριον ἀρετῆσ ὃ ταῖσ ἀληθείαισ ὑφηγήσεται πατὴρ παιδί.

Τεκμηριώσαιτο δ' ἄν τισ τὴν πρὸσ γονεῖσ εὐσέβειαν οὐ μόνον ἐκ τῶν εἰρημένων, ἀλλὰ κἀκ τῆσ πρὸσ τοὺσ ἥλικασ ἐκείνων ἀποχῆσ. ὁ γὰρ πρεσβύτην καὶ πρεσβύτιδα οὐδὲν γένει προσήκοντασ αἰδούμενοσ ἔοικέ πωσ ὑπομιμνήσκεσθαι πατρόσ τε καὶ μητρόσ, καὶ ἀποβλέπων ὥσπερ εἰσ ἀρχέτυπα τεθεικέναι τὰσ εἰκόνασ ἐκείνων. ὅθεν ἐν τοῖσ ἱεροῖσ γράμμασιν οὐ μόνον προεδρίασ ἐξίστασθαι διείρηται νέουσ πρεσβύταισ, ἀλλὰ καὶ παριοῦσιν ὑπανίστασθαι πολιὰν γήρωσ αἰδουμένουσ, εἰσ ὅπερ ἐλπὶσ ἀφικέσθαι τοὺσ προνομίασ τοῦτ' ἀξιοῦντασ. παγκάλωσ δέ μοι κἀκεῖνο νενομοθετῆσθαι δοκεῖ. φησὶ γάρ· ἕκαστοσ πατέρα τε ἑαυτοῦ καὶ μητέρα φοβείσθω, φόβον πρὸ εὐνοίασ τιθείσ, οὐχ ὡσ πρὸσ ἅπαν ἄμεινον, ἀλλ' ὡσ πρὸσ τὸν παρόντα καιρὸν χρησιμώτερόν τε καὶ λυσιτελέστερον. πρῶτον μὲν γὰρ τοῖσ παιδευομένοισ καὶ νουθετουμένοισ ἄφροσιν εἶναι συμβέβηκεν· ἀφροσύνη δὲ οὐκ ἄλλῳ ἢ φόβῳ θεραπεύεται. δεύτερον δὲ ἁρμόττον οὐκ ἦν νομοθέτου παραγγέλμασι τοὺσ παῖδασ εὔνοιαν διδάσκεσθαι τὴν πρὸσ γονεῖσ, ἣν

---

1 post μικρὰ γὰρ Maio οἱ γονεῖσ supplendum videbatur. Sed abesse illud poterat salva loci perspicuitate.

3 θελήσουσιν recte codex, Maius θηλήσουσιν errore typorum ut videtur, ut supra ἀμειβῆσ pro ἀμοιβῆσ.

4 ἐκείνουσ scripsimus praeeunte Maio. In codice ἐκεῖνοι legitur.

5 ὃ ταῖσ ἀληθείαισ codex rectissime. Maius ἢ τῆσ ἀληθείασ edendum censuit. Parum feliciter.

8 κἀκ τῆσ scribi debebat pro κἀκ τῶν, quod Maius edidit.

10 ἔοικέ πωσ: male Maius ἔοικε πῶσ. Idem per errorem ὁ καὶ ἀποβλέπων pro καὶ ἀποβλ. et ἀρχήτυπα pro ἀρχέτυπα edidit.

13 cf. Lev. 19, 32.

15 νενομοθετῆσθαι: ita corrigi debebat codicis scriptura νενομοθετεῖσθαι, quam intactam et Maius et qui secuti sunt retinuere.

αὐτοκέλευστον ἡ φύσισ ἐξαιτεῖ, ἐκ σπαργάνων δὲ ταῖσ ψυχαῖσ τῶν οὕτωσ ἡνωμένων κατὰ γένοσ ἐνιδρύσατο. διὸ φιλίαν μὲν τὴν πρὸσ τοὺσ γεννήσαντασ ὡσ αὐτομαθῆ καὶ αὐτοδίδακτον καὶ προστάξεωσ οὐ δεομένην ἀπέλιπε, φόβον δὲ προστάττει διὰ τοὺσ εἰωθότασ ῥαθυμεῖν. ἐπειδὴ γὰρ γονεῖσ παῖδασ ὑπερβαλλούσῃ χρώμενοι φιλοστοργίᾳ περιέπουσι καὶ πάντοθεν ἐκπορίζοντεσ αὐτοῖσ τἀγαθὰ χαρίζονται μηδένα πόνον ἢ κίνδυνον ὑπερτιθέμενοι, δυνάμεσιν ὅρκοισ εὐνοίαισ συνδεδεμένοι, τὸ λίαν φιλόστοργον αὐτῶν οὐ δέχονταί τινεσ ἐπ' ὠφελείᾳ, τρυφὴν καὶ χλιδὴν ἐζηλωκότεσ, καὶ θαυμάζοντεσ μὲν τὸν ὑγρὸν βίον, διαρρέοντεσ δὲ κατά τε σῶμα καὶ ψυχήν, καὶ μηδὲν μέροσ ἐῶντεσ ὀρθοῦσθαι ταῖσ οἰκείαισ δυνάμεσιν, ἃσ ὑποσκελίζοντεσ καὶ ἐκνευρίζοντεσ οὐκ ἐρυθριῶσιν ἕνεκα τοῦ μὴ δεδιέναι τοὺσ σωφρονιστὰσ πατέρασ καὶ μητέρασ, ἐνδιδόντασ καὶ ἐπιχαλῶντασ ταῖσ ἰδίαισ ἐπιθυμίαισ. ἀλλὰ καὶ τούτοισ ἀναγκαῖον παραινεῖν, ὅπωσ εὐτονωτέραισ καὶ ἐμβριθεστέραισ χρώμενοι νουθεσίαισ θεραπεύσωσι τὸν τῶν παίδων ῥόον, καὶ τοῖσ παισὶν ὅπωσ εὐλαβῶνται τοὺσ γεννήσαντασ, δεδιότεσ καὶ ὡσ ἄρχοντασ καὶ ὡσ φύσει δεσπότασ· μόλισ γὰρ οὕτωσ ἀδικεῖν ὀκνήσουσι.

Τὰ μὲν δὴ κατὰ τὴν προτέραν δέλτον πέντε κεφάλαια νόμων, καὶ ὅσα τῶν κατὰ μέροσ εἰσ ἕκαστον ἐλάμβανε τὴν ἀναφοράν, διεξῆλ-

---

1 αὐτόκελευστον: ita codex. Maius rursus compendio falsus αὐτοκελευστὶ edidit. Ibidem ἐκ σπαργάνων cum Maio scripsimus, sed ἐκ om. codex

2 διὸ φιλίαν: ita scripsimus pro δι' ὠφέλειαν, quod cod. habet.

6 χαρίζονται: ita codex. Maius male χαρίζοντεσ. Ceterum quae sequuntur: μηδένα — συνδεδεμένοι, vix sana sunt.

9 χλιδὴν: hunc accentum codex praebet. Maius χλίδην.

10 καὶ μηδὲν: ita codex, non ut Maius τὸ μηδὲν

12 ἕνεκα τοῦ μὴ: codicis scriptura nimis fefellit Maium, cui scriptum videbatur ἑνὸσ ἑκάστου μή. Quibus editis, licet sensum non haberent, pro ἐνδιδόντασ et ἐπιχαλῶντασ reposuit ἐνδιδόντεσ et ἐπιχαλῶντεσ.

14 ὅπωσ, quod infra ipse codex tuetur atque etiam Maius commendavit, pro πῶσ substituimus. Ibidem ἐμβριθεστέραισ ex codice hausimus. Maius quod edidit, ἐμβρυθεστέραισ, repetierunt etiam edd. Richt. et Tauchn.

16 γεννήσαντασ, ut sensus postulat, pro γινομένουσ dedimus.

17 ὀκνήσουσι: codex ὀκνήσωσι suprascripto ου, unde ὀκνήσουσι fit.

18 τὰ μὲν δὴ codex, Maius τὰ μὲν δέ.

θον. χρὴ δὲ καὶ τὰσ ὁρισθείσασ ἐπὶ τῇ τούτων παραβάσει τιμωρίασ δηλῶσαι. κοινὸσ μὲν οὖν ἐστὶ κατὰ πάντων θάνατοσ, δι᾽ ὃν ἔχει τἀδικήματα πρὸσ ἄλληλα συγγένειαν. αἰτίαι δὲ τῆσ δίκησ διάφοροι. ἀρκτέον δ᾽ ἀπὸ τοῦ τελευταίου τοῦ πρὸσ γονεῖσ, ἐπειδὴ καὶ περὶ αὐτοῦ λόγοσ ἔναυλοσ. ἐάν, φησί, τισ τυπτήσῃ πατέρα ἢ μητέρα, καταλευέσθω. πάνυ δικαίωσ· οὐ γὰρ θέμισ ζῆν τῷ προπηλακίζοντι τοὺσ τοῦ ζῆν αἰτίουσ. ἀλλ᾽ ἔνιοι τῶν εὐπαρύφων καὶ νομοθετῶν, πρὸσ δόξασ ἀπιδόντεσ μᾶλλον ἢ τὴν ἀλήθειαν, ἐκομψεύσαντο κατὰ πατροτυπτῶν ὁρίσαντεσ χειρῶν ἀποκοπήν· ὑπὲρ τοῦ παρὰ τοῖσ εἰκαιοτέροισ καὶ ἀνεξετάστοισ εὐδοκιμῆσαι νομίζουσιν ἁρμόττον εἶναι τὰ μέρη οἷσ ἐτύπτησαν τοὺσ γονεῖσ ἀκρωτηριάζεσθαι. ἔστι δ᾽ εὔηθεσ τοῖσ ὑπηρετηκόσι πρὸ τῶν αἰτίων δυσχεραίνειν· τὴν γὰρ ὕβριν οὐ χεῖρεσ, ἀλλὰ διὰ χειρῶν ὑβρισταὶ δρῶσιν, οὓσ ἀναγκαῖον κολάζειν, εἰ μὴ καὶ τοὺσ ἀνδροφονήσαντασ ξίφει μεθετέον ὑπερόριον τὸ ξίφοσ ῥίψαντασ, καὶ τοὐναντίον τοῖσ ἀριστεύσασιν ἐν πολέμῳ τιμὰσ οὐ δοτέον, ἀλλὰ ταῖσ ἀψύχοισ παντευχίαισ δι᾽ ὧν ἠνδραγαθήσαντο· μὴ καὶ τῶν ἐν γυμνικοῖσ ἀγῶσι στάδιον ἢ δίαυλον ἢ δολιχὸν νενικηκότων ἢ πυγμὴν ἢ παγκράτιον, σκέλη καὶ χεῖρασ αὐτῶν μόνον ταινιοῦν ἐπιχειρήσουσιν, ὅλα τὰ σώματα τῶν ἀθλητῶν παρέντεσ. γέλωσ μέντ᾽ ἂν εἴη τὰ τοιαῦτ᾽ εἰσηγεῖσθαι, δι᾽ ὧν οὐκ ἂν εἴη κολάζειν ἢ τιμᾶν δέον τοὺσ αἰτίουσ·

---

5 ἐάν: sic codex, non ut Maius ἄν

6 cf. Lev. 21, 15.

6 οὐ γὰρ: Maius compendio falsus οὔτε edidit.

12 αἰτίων: sic ipse codex. Male Maius αἰτιῶν, nec aliter dederunt qui secuti sunt.

14 μεθετέον: codex μετέθεον. Praeivit emendationem Maius, nisi quod μεθητέον scripsit. Quod vitium a se in Anecd. suis V, 122 sublatum in Thesauro Stephani (sub μεθετέον) perscripsit Boissonade. Similiter peccata in editione Maii sunt ὑπηρητηκόσι v. 11 et ἠνδραγασθήσαντο v. 16 cum multis aliis. Conservavimus vero ὑπερόριον, cuius loco Maius ὑπερορίουσ edidit.

17 ἀγῶσι codex, non ut Maius ἀγῶσιν. Ibidem codex δολιχὸν praebet, non δόλιχον.

18 ἐπιχειρήσουσιν: ita codex, non ut Maius ἐπιχειρήσωσιν

20 δι᾽ ὧν οὐκ ἂν εἴη: ita de coniectura scripsimus pro ὧν οὐκ ἄνευ, quae

οὐδὲ γὰρ μουσικὴν ἐπιδεικνύμενόν τινα δι' αὐλῶν ἢ λύρασ καὶ σφόδρα κατορθοῦντα παραλειψάμενοι τὰ ὄργανα κηρυγμάτων καὶ τιμῶν ἀξιοῦμεν.

Τί οὖν ἔδει πατροτύπτασ, ὦ γενναῖοι νομοθέται, χειροκοπεῖν; ἢ ἵνα πρὸσ τὸ εἶναι μηδὲν χρήσιμοι τὸ παράπαν καὶ δασμὸν οὐκ ἐτήσιον ἀλλ' ἐφήμερον ἀναπράττωσι παρὰ τῶν ἠδικημένων, τροφὰσ ἀναγκαίασ ἅτε πορίζειν ἀδυνατοῦντεσ; οὐ γὰρ σιδήρειοσ πατήρ ἐστί τισ οὕτωσ, ὡσ λιμῷ περιιδεῖν θνήσκοντα υἱόν, καὶ ταῦτα χρόνῳ τῆσ ὀργῆσ ἀμαυρουμένησ. κἂν μὴ ἐπενέγκῃ μέντοι χεῖρασ, κακηγορεῖ δ' οὓσ χρέοσ ἀναγκαῖον εὐφημεῖν, ἢ καὶ τρόπῳ ἑτέρῳ δρᾷ τι τῶν ἐπ' ἀτιμίᾳ γονέων, θνησκέτω. κοινὸσ γὰρ ἐχθρὸσ καί, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, δήμιοσ ἁπάντων ἐπὶ τίνι γένοιτ' ἂν εὐμενὴσ ἄλλῳ ὁ μηδὲ τοῖσ αἰτίοισ τοῦ ζῆν, δι' οὓσ εἰσ γένεσιν ἦλθεν, ὧν ἐστὶ προσθήκη;

Πάλιν δ' ὁ τὴν ἱερὰν ἑβδόμην βέβηλον ἀποφήνασ τὸ γ' ἐπ' αὐτὸν ἧκον μέροσ ὑπόδικοσ ἔστω θανάτου. τοὐναντίον γὰρ τοῖσ βεβήλοισ καὶ πράγμασι καὶ σώμασι καθαρσίων εὐπορητέον εἰσ τὴν ἀμείνω μεταβολήν, ἐπειδὴ φθόνοσ, ὥσ ἔφη τισ, ἔξω θείου χοροῦ βαίνει. τὸ δὲ τολμᾶν τὰ καθωσιωμένα παρακόπτειν καὶ παραχαράττειν ὑπερ-

---

sana esse nequeunt. Nec magis sunt verba quae in codice sequuntur κολάζοντασ ἢ τιμῶντασ, quorum loco iam Maius κολάζειν ἢ τιμᾶν reposuit.

2 παραλειψάμενοι: in margine adnotatur: γρ. (quod potius est γράφεται quam γραπτέον aut γράφε) παρακαλυψάμενοι

4 πατροτύπτασ: ita codex, non ut Maius etc. πατροτυπτάσ

7 σιδήρειοσ: cf. Mang. 2, 558, 23. Codex σιδήριοσ.

7 sq. ὡσ λιμῷ et sqq. Hunc locum Maius nec recte legit nec intellexit. Quod mireris, quum planissimus sit. Pro καὶ ταῦτα legit τὸν ταῦτα, quo facto ἐξημαρτηκότα supplendum duxit atque vertit: *Nemo sane tam ferreus est pater, qui filium fame enecari sineret, a quo ira excaecato laesus fuisset.* Quae quantopere a vero abhorreant non est quod probemus.

9 ἐπενέγκῃ: ita codex, male Maius ἐπενήγκῃ

10 cf. Exod. 21, 17.

12 ὁ μηδὲ etc.: Maius locum corrupit eo quod ὁ praetermisit. Interpunxit autem sic: ἄλλῳ; μηδὲ etc. Fortasse erit cui εἰ pro ὁ placuerit.

18 καθωσιωμένα: ita omnino codex, nisi quod alterum ω male omittit (καθωσῖμένα). Maius vero non animadvertens extremas syllabas (μένα) com-

βάλλουσαν ἀσέβειαν ἐμφαίνει. κατὰ τὴν παλαιὰν ἐκείνην ἐξ Αἰγύπτου μετανάστασιν, ἡνίκα δι' ἐρήμησ ἀτριβοῦσ ἅπασα ἡ πληθὺσ ὡδοιπόρει, γενομένησ ἑβδομάδοσ αἱ μὲν τοσαῦται μυριάδεσ, ὅσασ ἐδήλωσα πρότερον, ἐν ταῖσ σκηναῖσ κατὰ πολλὴν ἡσυχίαν διέτριβον. εἷσ δ' οὐχὶ τῶν ἠμελημένων καὶ ἀφανῶν, ὀλίγα φροντίσασ τῶν διατεταγμένων καὶ χλευάσασ τοὺσ φυλάττοντασ, ἐξίει μὲν ἐπὶ φρυγανισμόν, ἔργῳ δὲ εἰσ παρανομίασ ἐπίδειξιν. καὶ ὁ μὲν ὑπέστρεφεν ἀγκαλίδα ἀγαγών, οἱ δὲ τῶν σκηνῶν ἐκχυθέντεσ, καίτοι παρατεθηγμένοι, νεώτερον οὐδὲν ἕνεκα τοῦ περὶ τὴν ἡμέραν ἱεροπρεποῦσ εἰργάσαντο, πρὸσ δὲ τὸν ἄρχοντα ἀγαγόντεσ τὸ ἀσέβημα μηνύουσιν. ὁ δ' εἰσ εἱρκτὴν ἀποθέμενοσ, ἐκπεσόντοσ λογίου καταλεύειν, τὸν ἄνθρωπον ἐκδίδωσι τοῖσ πρῶτον θεασαμένοισ εἰσ ἀπώλειαν. ὡσ γὰρ οἶμαι πῦρ ἐναύειν ἑβδόμαισ οὐκ ἐπιτέτραπται δι' ἣν πρόσθεν αἰτίαν εἶπον, οὕτωσ οὐδὲ τὰ πυρὸσ ἐκκαύματα συλλέγειν.

ΚΑΤΑ ΨΕΥΔΟΡΚΩΝ.

Τοῖσ μάρτυρα καλοῦσιν ἐπὶ μὴ ἀληθῆ θεὸν ὥρισται δίκη θανάτου προσηκόντωσ. οὐδὲ γὰρ ἄνθρωποσ τῶν μετρίων ἀνέξεταί ποτε παρακληθεὶσ συνεπιγράψασθαι ψεύδεσιν, ἀλλ' ἐχθρὸν ἄπιστον ὑπολαβεῖν

---

pendio scriptas esse insuperque ο pro ω substituens καθόσιμα edidit. Quam monstruosam vocem qui in Steph. Thesaurum receperunt, certe quid rei esset suspicati sunt. Legitur enim ibi sic: „[καθόσιμοσ, ὁ, ἡ, Philo De colend. Par. p. 26: τὰ καθόσιμα παρακόπτειν, i. q. ὅσια, si lectio est sana. Schneid. In Maii Auct. class. vol. 4, p. 422. Legendum videtur καθωσιωμένα.]"

1 ἐμφαίνει: ita codex, non ut Maius ἐκφαίνει

8 ἐκχυθέντεσ: ita corrigendum videbatur id quod in codice scriptum est ἐκκαυθέντεσ. Editor Tauchnitianus alio modo locum sanare studens scripsit: καίτοι ἐκκαυθέντεσ καὶ παρατεθηγμένοι.

12 ὡσ γάρ: ita codex, non ut Maius ὡσ οὖν. Ibidem πῦρ ἐναύειν: ita iam Maius edidit. Ipse vero codex πῦρ ἐν δυοῖν exhibet. Vox quae sequitur ἑβδόμαισ est, non ἑβδόμασιν, ut Maius edidit.

* Inscriptionem ex margine codicis sumpsimus; Maius praeteriit.

18 cf. Deut. 19, 16 sqq.

ἄν μοι δοκεῖ τὸν εἰσ ταῦτα προτρέποντα. ὅθεν ῥητέον· τὸν ὀμνύντα μάτην ἐπ' ἀδίκῳ θεὸσ ὁ τὴν φύσιν ἵλεωσ οὔποτε τῆσ αἰτίασ ἀπαλλάξει δυσκάθαρτον καὶ μιαρὸν ὄντα, κἂν διαφύγοι τὰσ ἀπ' ἀνθρώπων τιμωρίασ. διαδράσεται δ' οὐδέποτε· μυρίοι γὰρ ἔφοροι, ζηλωταί, νόμων φύλακεσ τῶν πατρίων ἀκριβέστεροι, ἐπὶ καταλεύσει τοῖσ δρῶσιν ἀμειλίκτωσ ἔχοντεσ· εἰ μὴ ἄρα ἐπὶ μὲν ἀτιμίᾳ πατρὸσ ἢ μητρὸσ φόνου ἄξιον, ἐπὶ δ' ὀνόματι τῷ καὶ αὐτῆσ εὐκλεεστέρῳ σεμνότητοσ ὑπ' ἀσεβῶν ἀτιμουμένῳ μετριώτερον οἰστέον. ἀλλ' οὐχ οὕτωσ ἐστί τισ ἀνόητοσ, ὡσ ἕνεκα τῶν ἐλαττόνων κτείνων τοὺσ αἰτίουσ ἐπὶ τοῖσ μείζοσιν ἐᾶν· μεῖζον δ' ἀσέβημα τοῦ πρὸσ γονεῖσ κακουργουμένου καὶ ὑβριζομένου τὸ περὶ τὴν ἱερὰν πρόσρησιν θεοῦ γενόμενον ἐκ ψευδορκίασ. εἰ δὲ ὁ μὴ προσηκόντωσ ὀμνὺσ ὑπαίτιοσ, πόσησ ἄξιοσ τιμωρίασ ὁ τὸν ὄντωσ ὄντα θεὸν ἀρνούμενοσ καὶ τοὺσ γεγονότασ πρὸ τοῦ πεποιηκότοσ τιμῶν, καὶ μὴ μόνον γῆν ἢ ὕδωρ ἢ ἀέρα ἢ πῦρ, τὰ στοιχεῖα τοῦ παντόσ, ἢ πάλιν ἥλιον καὶ σελήνην καὶ πλανήτασ καὶ ἀπλανεῖσ ἀστέρασ ἢ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον σέβειν

---

1 δοκεῖ reposuimus pro δοκῇ, quod codex habet.

2 θεὸσ: ita ipse codex, non ut Maius θεὸν

3 ἀπ' ἀνθρώπων: Maius ratione compendii falsus ἀπ' ἀνθρώπου exhibuit. Ibidem codex rursus μυρίοι, non μύριοι.

5 τοῖσ δρῶσιν: ita scribendum duximus pro τί δρῶσιν.

10 sqq. De huius loci scriptura et natura Ang. Maius misere falsus est. Creavit errorem verbum ἐᾶν, quod pro ἐὰν coniunctione habuit; qua quidem in textum admissa nihil amplius recte processit. Edidit igitur ille (nec aliter qui editionem repetierunt) hunc in modum: ἐπὶ τοῖσ μείζοσιν, ἐὰν μεῖζον δ' ἀσέβημα τοῦ πρὸσ γονεῖσ κατηγορουμένου καὶ ὑβριζομένου τὸ περὶ τὴν ἱερὰν πρόσρησιν θεοῦ γενόμενον ἐκ ψευδορκίασ, (ἐπιεικείᾳ χρήσεται.) Quae ut pessime habent, ita reposito ἐᾶν omnia bene procedunt. Praeterea pro κατηγορουμένου, quod vix ferri potest, κακουργουμένου scripsimus.

14 γῆν ἢ ὕδωρ codex, non ut Maius γῆν καὶ ὕδωρ

15 πλανήτασ edidimus, quum eandem formam alibi ipse codex Laur. agnoscat; hoc vero loco πλάνητασ praebet.

16 codex ἢ τὸν σύμπαντα, Maius ex errore καὶ τὸν σύμπαντα. Paullo post in ed. princ. καὶ post οὐρανόν τε excidit.

ἀξιῶν, ἀλλὰ καὶ ὅσα θνητοὶ δημιουργοὶ κατεσκεύασαν ξύλα καὶ λίθουσ, ἅπερ εἰσ ἀνθρωποειδεῖσ τύπουσ ἐμορφώθη.

Τοιγάρτοι καὶ αὐτὸσ ἐξομοιούσθω τοῖσ χειροτμήτοισ· θέμισ γὰρ μὴ μετέχειν ψυχῆσ τὸν τὰ ἄψυχα τιμήσαντα, καὶ μάλιστα φοιτητὴν γενόμενον Μωϋσέωσ, οὗ πολλάκισ ἤκουσε λέγοντόσ τε καὶ προφητεύοντοσ τὰσ ἱερωτάτασ καὶ καταθέουσ ἐκείνασ ὑφηγήσεισ· ὄνομα θεῶν ἑτέρων μήτε τῇ ψυχῇ παραδέξῃ εἰσ ὑπόμνησιν μήτε φωνῇ διερμηνεύσῃσ, ἀλλ᾽ ἑκάτερον νοῦν καὶ λόγον μακρὰν τῶν ἄλλων διαζεύξασ ἐπίστρεψον πρὸσ τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων, ἵνα καὶ φρονῇσ περὶ μοναρχίασ τὰ ἄριστα καὶ κάλλιστα, καὶ λέγῃσ τὰ πρέποντα καὶ λυσιτελέστατα σαυτῷ τε καὶ τοῖσ ἀκουσομένοισ.

Αἱ μὲν οὖν κατὰ τῶν παραβαινόντων τοὺσ πέντε χρησμοὺσ τιμωρίαι δεδήλωνται· τὰ δὲ προκείμενα τοῖσ φυλάττουσιν αὐτοὺσ ἆθλα, καὶ εἰ μὴ ῥηταῖσ προστάξεσι μεμήνυκεν ὁ νόμοσ, ἀλλά τοι δι᾽ ὑπονοίασ ἐμφαίνεται. τὸ μὲν οὖν μὴ νομίζειν θεοὺσ ἑτέρουσ μηδὲ χειρότμητα θεοπλαστεῖν μηδὲ ψευδορκεῖν ἑτέρου γέρωσ χρεῖον οὐκ ἔστιν· αὐτὸ γὰρ οἶμαι τὸ ταῦτα ἐπιτηδεύειν ἄριστον καὶ τελεώτατόν ἐστι γέρασ. ἐπὶ τίνι γὰρ δύναιτ᾽ ἂν τισ ἡσθῆναι μᾶλλον ἀληθείασ ἐρῶν

---

2 ἀνθρωποειδεῖσ: ita codex, ἀνθρωπο per notissimum compendium expresso. Male Maius ἀνθρωπώδεισ.

5 μωϋσέωσ: sic codex. Maius miro errore μωϊσέωσ. Erravit inde quod ϋσ litterae in unum coniunctae sunt et obiter inspicienti ϊσ videri possunt.

6 ἱερωτάτασ: ita codex, non ut Maius ἱεροτάτασ

9 διαζεύξασ: ita codex. Maius compendio falsus διαζεύξεων edidit.

12 ἀκουσομένοισ: ita codex, non ut Maius ἀκουομένοισ

16 ἐμφαίνεται: sic codex. Maius, ut iam supra in eodem verbo peccavit, ἐκφαίνεται edidit.

17 θεοπλαστεῖν: ita codex, non ut Maius θεὸν πλαστεῖν. Ibidem χρεῖον: codex χρειῶν (Maius χρείων). Cuius scripturae emendandae duplex via patebat: aut enim τὸ μὲν οὖν, quod in codice est, retinendum et χρεῖον scribendum, aut τῷ pro τὸ et χρειὼ pro χρειῶν edendum erat. Quum autem χρεῖον ex usu Philonis sit, non item χρειώ, usum Philonis secuti sumus.

ἢ τῷ ἑνὶ προσκεῖσθαι θεῷ καὶ τῆσ τούτου θεραπείασ ἀδόλωσ καὶ καθαρῶσ περιέχεσθαι; καλῶ δὲ μάρτυρασ, οὐχ οἵτινεσ θεραπεύουσι τῦφον, ἀλλὰ τοὺσ ἀπλανῆ ζῆλον ἐζηλωκότασ, παρ᾽ οἷσ ἀλήθεια τιμᾶται. φρονήσεώσ τε γὰρ ἆθλον αὐτὴ ἡ φρόνησισ, καὶ δικαιοσύνη καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν ἑαυτῆσ ἐστὶ γέρασ. ἡ δ᾽ ὥσπερ ἐν χορῷ καλλιστεύουσα καὶ κατάρχουσα πασῶν ὁσιοτήτων πολὺ πλέον ἐστὶν ἑαυτῆσ καὶ ἀγώνισμα καὶ ἆθλον, παρέχουσα καὶ τοῖσ χρωμένοισ εὐδαιμονίαν καὶ τοῖσ τούτων παισὶ καὶ ἐγγόνοισ εὐπραγίασ ἀναφαιρέτουσ.

Πάλιν γε μὴν τοῖσ τὴν ἱερὰν ἑβδόμην φυλάττουσι συμβαίνει περὶ δύο τὰ ἀναγκαιότατα ὠφελεῖσθαι, σῶμα καὶ ψυχήν, τὸ μὲν ἀναπαύλαισ ἐκ τῶν συνεχῶν καὶ ἀτρύτων πόνων, τὴν δ᾽ ὑπολήψεσιν ἀρίσταισ περὶ θεοῦ ὡσ κοσμοποιοῦ καὶ ἐπιμελουμένου ὧν ἐγέννησε καὶ τὰ σύμπαντα ἐτελεσφόρησεν ἑβδομάδι. δῆλον οὖν ἐκ τούτων ὅτι τὴν ἑβδόμην τιμῶν αὐτὸσ εὑρίσκεται τιμήν.

Ὁμοίωσ μέντοι καὶ ὁ τοὺσ γονεῖσ ἀποδεχόμενοσ μὴ θηράσθω τι πλέον· εὑρήσει γὰρ σκοπῶν ἐν αὐτῷ τῷ ἔργῳ τὸ ἆθλον. οὐ μὴν ἀλλ᾽ ἐπειδὴ τῶν προτέρων τεσσάρων κεφαλαίων, ἃ θειοτέρασ ἔλαχε μοίρασ, ἔλαττον τοῦτ᾽ ἔστι διὰ τὸ θνητῶν ἐφάπτεσθαι, παρηγόρησεν εἰπών· τίμα πατέρα καὶ μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιοσ γένῃ, δύο γέρα τιθείσ, ἓν μὲν μετουσίαν ἀρετῆσ· τὸ γὰρ εὖ ἡ ἀρετὴ ἢ οὐκ ἄνευ ἀρετῆσ· ἕτερον δέ, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, ἀθανασίαν διὰ

4 ἆθλον αὐτὴ ἡ φρόνησισ: ita scribendum esse iudicavimus. Maius quidem edidit ἆθλον αὕτη φρόνησισ αὐτῇ, at ipse codex ἆθλον αὕτη· φρόνησισ ἆθλον αὐτῇ praebet, quae scriptura nonnihil ex margine assumpsisse videtur.

9 ἀναφαιρέτουσ: ita codex, non ut Maius ἀναφερέτουσ

10 μὴν: sic scriptum est, non μὲν, ut Maius edidit.

11 sq. τὸ μὲν et τὴν δ᾽, quae contextus poscit, pro τῷ μὲν et τῇ δ᾽ scripsimus.

17 οὐ μὴν: rursus male Maius οὐ μέν.

20 cf. Exod. 20, 12.

21 ἓν μέν: male Maius μὲν omisit.

πολυχρονίου ζωῆσ καὶ βίου μακραίωνοσ, ὃν καὶ μετὰ σώματοσ θρέψεισ, ψυχῇ κεκαθαρμένῃ τελείᾳ καθάρσει βιῶν.

Ταῦτα μὲν οὖν ἀποχρώντωσ λέλεκται· τὰ δ' ἐν τῇ δευτέρᾳ δέλτῳ μετὰ ταῦτα καιροῦ διδόντοσ ἐπισκεψόμεθα.

---

3 ἀποχρώντωσ: Maius typorum vitio ἀποχρώντοσ edidit.

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΔΟΚΗΣΙΣΟΦΟΥ ΚΑΪΝ ΕΓΓΟΝΩΝ ΚΑΙ ΩΣ ΜΕΤΑΝΑΣΤΗΣ ΓΙΝΕΤΑΙ.

*1. Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ. νυνὶ διαπορῶμεν εἰ χρὴ τῶν ἐν ταῖσ διερμηνευθείσαισ βίβλοισ ὑπὸ Μωϋσέωσ τροπικώτερον ἀκούειν, τῆσ ἐν τοῖσ ὀνόμασι προχείρου φαντασίασ πολὺ τἀληθοῦσ ἀπᾳδούσησ. εἰ γὰρ πρόσωπον μὲν ἔχει τὸ ὄν, ὁ δὲ βουλόμενοσ αὐτὸ καταλιπεῖν ἑτέρωσε μετανίστασθαι ῥᾷστα δύναται, τί τὴν Ἐπικούρειον ἀσέβειαν ἢ τὴν τῶν Αἰγυπτίων ἀθεότητα ἢ τὰσ μυθικὰσ ὑποθέσεισ, ὧν μεστὸσ ὁ βίοσ ἐστί, παραιτούμεθα; πρόσωπον μὲν γὰρ ζώου τμῆμά ἐστιν, ὁ δὲ θεὸσ ὅλον, οὐ μέροσ. ὥστ᾽ ἀνάγκη καὶ τὰ ἄλλα προσαναπλάττειν, αὐχένα καὶ στέρνα καὶ χεῖρασ, ἔτι * δ᾽ αὖ γαστέρα, βάσεισ καὶ τὰ γεννητικά, καὶ τὸ ἄλλο τῶν ἐντόσ τε καὶ ἐκτὸσ ἀνάριθμον πλῆθοσ. ἀκολουθεῖ δ᾽ ἐξ ἀνάγκησ τῷ ἀνθρωπομόρφῳ τὸ ἀνθρωποπαθέσ· ἐπεὶ καὶ ταῦτα οὐ περιττὰ καὶ παρέλκοντα, τῆσ δὲ τῶν ἐχόντων ἐπίκουρα ἀσθενείασ ἡ φύσισ ἀπειργάζετο, τὰ ὅλα πρὸσ τὰσ οἰκείασ χρείασ τε καὶ ὑπηρεσίασ ἀκολούθωσ ἐφαρμόττουσα. τὸ δὲ ὂν οὐδενὸσ χρεῖον, ὥστ᾽ εἰ μηδὲ τῆσ ἀπὸ τῶν μερῶν ὠφελείασ, οὐδ᾽ ἂν ἔχοι μέρη τὸ παράπαν.

---

* Mang. 1, 226.

1 cf. Gen. 4, 16.

2 Ναΐδ: ita pro Ναΐδυ et h. l. et infra (93, 4) edendum videbatur.

4 τἀληθοῦσ ἀπᾳδούσησ: sic codex, non ut Mang. τἀληθοῦσ ἀποδεούσησ

10 δ᾽ αὖ γαστέρα: codex δ᾽ αὐγεστέρα. Ceterum post γαστέρα nescio an καὶ exciderit.

10 * Mang. 227.

11 γεννητικά: ita codex, non γεννητά

14 τὰ ὅλα: ita pro τὰ ὅσα reposuimus

16 ὥστ᾽ εἰ μηδὲ: ita codex, non ὥστε μηδὲ

2. Ἐξέρχεται δὲ πόθεν; ἢ ἐκ τῶν βασιλείων τοῦ πανηγεμόνοσ; θεοῦ δὲ οἶκοσ αἰσθητὸσ τίσ ἂν εἴη πλὴν ὅδε ὁ κόσμοσ, ὃν καταλείπειν ἀμήχανόν τε καὶ ἀδύνατον; πάντα γὰρ ὧν γένεσίσ ἐστιν οὐρανοῦ κύκλοσ περισφίγξασ ἐντὸσ ἑαυτοῦ κατέχει· καὶ γὰρ αἱ τῶν τετελευτηκότων ἀναστοιχειούμεναι μοῖραι πάλιν εἰσ τὰσ τοῦ παντὸσ δυνάμεισ ἐξ ὧν συνέστησαν ἀποκρίνονται, τοῦ δανεισθέντοσ ἑκάστῳ δανείσματοσ κατὰ προθεσμίασ ἀνίσουσ ἀποδιδομένου τῇ συμβαλούσῃ φύσει, ὁπότε βουληθείη τὰ ἑαυτῆσ χρέα κομίζεσθαι. καὶ μὴν ὅ γε ἐξιὼν ἀπό τινοσ, ἐν ἑτέρῳ χωρίῳ τὸ ἀπολειπόμενον ἑαυτοῦ· τῷ δὲ συμβέβηκεν ἀκολουθεῖν τὸ χηρεύειν τινὰ μέρη τῶν ἐν κόσμῳ θεοῦ, μηδὲν κενὸν μηδὲ ἔρημον ἑαυτοῦ καταλελοιπότοσ, ἀλλὰ πάντα διὰ πάντων ἐκπεπληρωκότοσ. εἰ δὲ μήτε πρόσωπον ἔχει ὁ θεόσ, ἅτε τὰσ τῶν γεγονότων ἰδιότητασ ἁπάντων ἐκβεβηκώσ, μήτε ἐν μέρει καταγίνεται, ἅτε περιέχων, οὐ περιεχόμενοσ, ἀδύνατόν ἐστιν ὥσπερ ἐκ πόλεωσ τοῦδε τοῦ κόσμου μεταναστῆναί τι, μέρουσ αὐτοῦ μηδενὸσ ἀπολειφθέντοσ ἔξω. λοιπὸν ἂν εἴη, λογισαμένουσ ὅτι τῶν προταθέντων οὐδὲν κυριολογεῖται, τὴν δι' ἀλληγορίασ ὁδὸν φυσικοῖσ φίλην ἀνδράσι τρέπεσθαι, τὴν ἀρχὴν ἐνθένδε τοῦ λόγου ποιησαμένουσ. εἰ τὸ ἐκ προσώπου μεταναστῆναι βασιλέωσ θνητοῦ χαλεπόν ἐστι, πῶσ οὐ παγχάλεπον τὴν θεοῦ φαντασίαν καταλιπόντα οἴχεσθαι, μηκέτι εἰσ ὄψιν ἀφικνεῖσθαι τὴν αὐτοῦ διεγνωκότα, τοῦτο δ' ἔστιν ἀφάνταστον αὐτοῦ γενέσθαι, τὸ ψυχῆσ ὄμμα πηρωθέντα; καὶ ὅσοι μὲν ἐξ ἀνάγκησ τοῦτο ὑπέμειναν, ἀπαραιτήτου δυνάμεωσ κράτει πιεσθέντεσ, ἐλέου μᾶλλον ἢ μίσουσ τυγχάνοιεν ἄν· ὅσοι δὲ ἑκουσίῳ γνώμῃ τὸ ὂν ἐξετράποντο,

---

7 ἀποδιδομένου τῇ συμβαλούσῃ: ita codex, non ἀποδεδομένου συμβαλούσῃ

8 ὅ γε ἐξιὼν etc. Ex codice nihil subsidii ad emendandum hunc locum hausimus.

15 τι, μέρουσ αὐτοῦ μηδενὸσ: ita cum Mang. emendavimus quod in codice est: τι μέροσ αὐτοῦ· μηδενὸσ.

17 φίλην cum Mang. addidimus.

24 ἑκουσίῳ γνώμῃ: ita cum Mang. pro ἑκουσίωσ γνώμῃ scripsimus.

ὑπερβάλλοντεσ καὶ τὸν αὐτῆσ ὅρον κακίασ — τί γὰρ ἂν ἰσοστάσιον εὑρεθείη κακόν; — μὴ τὰσ ἐξ ἔθουσ, ἀλλὰ καινὰσ καὶ παρηλλαγμένασ διδότωσαν δίκασ. ἦ καινοτέραν καὶ μείζονα ἐπινοῶν οὐκ ἄν τισ εὕροι τῆσ ἀπὸ τοῦ πανηγεμόνοσ ἐξόδου καὶ φυγῆσ.

3. *Τὸν μὲν οὖν Ἀδὰμ ὁ θεὸσ ἐκβάλλει, ὁ δὲ Κάϊν ἐθελοντὴσ ἐξέρχεται, δηλοῦντοσ ἡμῖν Μωϋσέωσ ἑκατέρου τρόπου εἶδοσ, ἑκούσιόν τε καὶ ἀκούσιον. ἀλλὰ τὸ μὲν ἀκούσιον, ἅτε οὐχ ἡμετέρᾳ γνώμῃ συνιστάμενον, λήψεται τὴν ἐνδεχομένην αὖθισ ἴασιν· ἐξαναστήσει γὰρ ὁ θεὸσ σπέρμα ἕτερον ἀντ' Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν, ψυχῇ τῇ μὴ παρ' ἑαυτῆσ τραπείσῃ γέννημα ἄρρεν, Σῆθ τὸν ποτισμόν. τὸ δὲ ἑκούσιον, ἅτε βουλῇ καὶ προμηθείᾳ γενόμενον, ἀνιάτουσ εἰσ ἀεὶ κῆρασ ἐνδέξεται· καθάπερ γὰρ τὰ ἐκ προνοίασ ἀμείνω τῶν ἀκουσίων κατορθώματα, τὸν αὐτὸν τρόπον ἐν τοῖσ ἁμαρτήμασι κουφότερα τῶν ἑκουσίων τὰ ἀκούσια.

4. Τὸν μὲν οὖν Κάϊν ἐκ προσώπου τοῦ θεοῦ μεταστάντα ἡ τιμωρὸσ ἀσεβῶν ἐκδέξεται δίκη. Μωϋσῆσ δὲ τοῖσ γνωρίμοισ αὐτοῦ παράγγελμα κάλλιστον ὑποθήσεται, ἀγαπᾶν τὸν θεὸν καὶ εἰσακούειν καὶ ἔχεσθαι αὐτοῦ· ταύτην γὰρ εἶναι ζωὴν τὴν πρὸσ ἀλήθειαν εὐήμερόν τε καὶ μακραίωνα. πάνυ δ' ἐμφαντικῶσ ἐπὶ τὴν τοῦ τριποθήτου καὶ ἀξιεράστου καλεῖ τιμήν, εἰπὼν ἔχεσθαι αὐτοῦ, τὸ συνεχὲσ καὶ ἐπάλληλον καὶ ἀδιάστατον τῆσ κατ' οἰκείωσιν ἁρμονίασ

---

1 τί γὰρ ἂν: Mang. ἂν omisit.
3 καινοτέραν: ita pro καινότερον scribi oportebat.
6 * Mang. 228.
6 cf. Gen. 3, 24.
9 cf. Gen. 4, 25.
10 Κάϊν: ita praeeunte Mang. pro κακία, quod in codice est, scripsimus. τῇ μὴ quod sequitur, in codice τ' ἡμῆ scriptum est.
20 ἔχεσθαι αὐτοῦ: et hoc loco et paullo post in codice est εὔχεσθαι αὐτοῦ. Emendationem Mang. praeivit.
20 cf. Deuteron. 30, 20.

καὶ ἑνώσεωσ παριστάσ. ἃ μὲν δὴ τοῖσ ἄλλοισ παραινεῖ, ταῦτά ἐστι καὶ τοιαῦτα. αὐτὸσ δ' οὕτωσ ἀπαύστωσ ὀρέγεται τοῦ ὁρᾶν καὶ πρὸσ αὐτοῦ ὁρᾶσθαι, ὥσθ' ἱκετεύει δυστόπαστον οὖσαν τὴν ἑαυτοῦ φύσιν δηλῶσαι γνωρίμωσ, ἵν' ἤδη ποτὲ ἀψευδοῦσ δόξησ μεταλαβὼν ἀβεβαίου ἐνδοιασμοῦ βεβαιοτάτην πίστιν ἀλλάξηται. καὶ ἐπιτείνων οὐκ ἀνήσει τὸν πόθον, ἀλλὰ καὶ γνοὺσ ὅτι δυσθηράτου, μᾶλλον δὲ ἀνεφίκτου πράγματοσ ἐρᾷ, ὅμωσ ἐπαγωνιεῖται, μηδὲν συντόνου σπουδῆσ ἀνιείσ, ἀλλὰ πᾶσι τοῖσ παρ' ἑαυτοῦ εἰσ τὸ τυχεῖν ἀπροφασίστωσ καὶ ἀόκνωσ συγχρώμενοσ.

5. Ἤδη γοῦν καὶ εἰσ τὸν γνόφον ὅπου ἦν ὁ θεὸσ εἰσελεύσεται, τουτέστιν εἰσ τὰσ ἀδύτουσ καὶ ἀειδεῖσ περὶ τοῦ ὄντοσ ἐννοίασ. οὐ γὰρ ἐν γνόφῳ τὸ αἴτιον, οὐδὲ συνόλωσ ἐν τόπῳ, *ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου· τὰ γὰρ γεγονότα πάντα ὑποζεύξασ ἑαυτῷ περιέχεται μὲν ὑπ' οὐδενόσ, ἐπιβέβηκε δὲ πᾶσιν. ἐπιβεβηκὼσ δὲ καὶ ἔξω τοῦ δημιουργηθέντοσ ὢν οὐδὲν ἧττον πεπλήρωκε τὸν κόσμον ἑαυτοῦ·

---

2 αὐτὸσ δ' οὕτωσ ἀπαύστωσ: ita codex, non αὐτ. δὲ οὕτωσ ἄπαυστοσ

8 πᾶσι τοῖσ: ita codex. Male antea τοῖσ omittebatur.

11 cf. Exod. 20, 21.

12 ἀειδεῖσ: ita cum Mang. pro ἀηδεῖσ scripsimus.

13 ἐν γνόφῳ, quod in codice est, retinuimus. Mang. ἐν χρόνῳ reponi voluit, quemadmodum idem locus in Parallelis sacris Iohannis (Damasceni?) ex cod. Rupefucaldino legitur: οὐκ ἐν χρόνῳ τὸ αἴτιον, οὐδ' οὖν (sic) ὅλωσ ἐν τόπῳ, ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου. At lectionem ἐν γνόφῳ confirmat Clem. Strom. 2, 431. καὶ εἰσ τὸν γνόφον, οὗ ἦν ἡ φωνὴ τοῦ θεοῦ, εἰσελθεῖν βιάζεται, τουτέστιν εἰσ τὰσ ἀδύτουσ καὶ ἀειδεῖσ περὶ τοῦ ὄντοσ ἐννοίασ. οὐ γὰρ ἐν γνόφῳ ἢ τόπῳ ὁ θεόσ, ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου καὶ τῆσ τῶν γεγονότων ἰδιότητοσ: quae ex nostro illum loco hausisse (non ex eo quem ad locum Clementis adscribere solent, de nominum mutatione p. 579) clarissimum est. Vix autem pariter in Clemente atque in codice Philonis Vaticano γνόφῳ ex errore pro χρόνῳ positum est. ἐν χρόνῳ vero illud in Par. sacr. facile ad ea quae sequuntur ὑπεράνω etc. conformari potuit.

13 *Mang. 229.

14 καὶ χρόνου: pro his codex non ἀχρείου, ut Mangeio traditum est, sed ἀχρόνου habet.

διὰ γὰρ δυνάμεωσ ἄχρι περάτων τείνασ ἕκαστον ἑκάστῳ κατὰ τοὺσ ἁρμονίασ λόγουσ συνύφηνεν. ὅταν οὖν φιλόθεοσ ψυχὴ τὸ τί ἐστι τὸ ὂν κατὰ τὴν οὐσίαν ζητεῖ, εἰσ ἀειδῆ καὶ ἀόρατον ἔρχεται ζήτησιν, ἐξ ἧσ αὐτῇ περιγίνεται μέγιστον ἀγαθόν, καταλαβεῖν ὅτι ἀκατάληπτοσ ὁ κατὰ τὸ εἶναι θεὸσ παντί, καὶ αὐτὸ τοῦτο ἰδεῖν ὅτι ἐστὶν ἀόρατοσ. δοκεῖ δέ μοι καὶ πρὶν ἄρξασθαι τῆσδε τῆσ σκέψεωσ ὁ ἱεροφάντησ τὸ μέγιστον αὐτῆσ κατανοῆσαι ἐξ ὧν αὐτὸν ἱκετεύει τὸν ὄντα μηνυτὴν καὶ ὑφηγητὴν τῆσ ἑαυτοῦ φύσεωσ γενέσθαι. λέγει γάρ· ἐμφάνισόν μοι σεαυτόν, ἐναργέστατα διὰ τούτου παριστὰσ ὅτι τῶν γεγονότων ἱκανὸσ οὐδὲ εἷσ ἐξ ἑαυτοῦ τὸν κατὰ τὸ εἶναι θεὸν ἀναδιδαχθῆναι.

6. Διὰ τοῦτο καὶ Ἀβραὰμ ἐλθὼν εἰσ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεόσ, τῇ τρίτῃ ἡμέρᾳ ἀναβλέψασ ὁρᾷ τὸν τόπον μακρόθεν. ποῖον τόπον; ἆρ᾽ εἰσ ὃν ἦλθε; καὶ πῶσ ἔτι μακράν, εἴπερ ἔφθη παραγενόμενοσ; ἀλλὰ μήποτε ὅπερ αἰνίττεται τοιοῦτόν ἐστιν· ὁ σοφόσ, αἰεὶ γλιχόμενοσ κατανοῆσαι τὸν ἡγεμόνα τοῦ παντόσ, ὅταν τὴν δι᾽ ἐπιστήμησ καὶ σοφίασ ἀτραπὸν βαδίζῃ, λόγοισ μὲν προεντυγχάνει θείοισ, παρ᾽ οἷσ προκαταλύει, τρέπεσθαι δὲ τὴν ἄλλην ἐγνωκὼσ ἐπέχεται· διοιχθέντων γὰρ τῶν διανοίασ ὀμμάτων ὀξυδερκέστερον εἶδεν ὅτι ἐπὶ τὴν δυσαλώτου πράγματοσ θήραν ἀναδέδυκεν, ἐξαναχωροῦντοσ αἰεὶ καὶ μακρὰν ἀφισταμένου καὶ φθάνοντοσ ἀπείρῳ τῷ μεταξὺ διαστήματι τοὺσ διώκοντασ. εὖ οὖν νομίζεισ ὅτι πάνθ᾽ ὅσα τῶν ὑπ᾽ οὐρανὸν ὠκυδρομώτατα ἑστάναι ἂν δόξαι, πρὸσ τὴν ἡλίου καὶ σελήνησ καὶ τῶν ἄλλων φορὰν ἀστέρων ἀντεξετασθέντα. καίτοι σύμπασ οὐρανὸσ ὑπὸ θεοῦ γέγονεν· αἰεὶ δὲ τὸ ποιοῦν τοῦ γινομένου προελήλυθεν, ὥστε ἐξ ἀνάγκησ οὐ μόνον τὰ ἄλλα τῶν παρ᾽ ἡμῖν, ἀλλὰ καὶ τὸ πάντων

---

8 cf. Exod. 33, 13.

13 cf. Gen. 22, 4.

15 μήποτε: ita codex, non μήποθ᾽ ut Mang. Ibidem αἰεὶ codex, non ἀεί. Item infra vv. 20 et 25.

22 εὖ: ita iam Mang. pro εἰ reposuit. Voluit etiam δόξαι, quod recepimus, pro δέξαι, quod codex habet, reponi.

ὀξυκινητότατον, ὁ νοῦσ, ἀπεριγράφοισ ἀπολειφθείη τῆσ καταλήψεωσ τοῦ αἰτίου διαστήμασιν. ἀλλ' οἱ μὲν ἀστέρεσ παραμείβονται τὰ κινούμενα καὶ αὐτοὶ κινούμενοι, ὁ δὲ θεόσ, τὸ παραδοξότατον, ἑστὼσ ἔφθακε πάντα. λέγεται δ' ὅτι καὶ ἐγγύτατα ὁ αὐτὸσ ὢν καὶ μακρὰν ἐστιν, ἁπτόμενοσ μὲν ταῖσ ποιητικαῖσ καὶ κολαστηρίοισ δυνάμεσι πλησίον ὑπαρχούσαισ ἑκάστου, πορρώτατον δὲ τῆσ κατὰ τὸ εἶναι φύσεωσ αὐτοῦ τὸ γεννητὸν ἀπεληλακώσ, ὡσ μηδὲ κατὰ τὰσ ἀκραιφνεῖσ καὶ ἀσωμάτουσ τῆσ *διανοίασ ἐπιβολὰσ ψαύσασθαι δύνασθαι. τοῖσ μὲν οὖν φιλοθέοισ τὸ ὂν ἀναζητοῦσι, κἂν μηδέποτε εὕρωσι, συγχαίρομεν· ἱκανὴ γὰρ ἐξ ἑαυτῆσ προσευφραίνειν ἐστὶν ἡ τοῦ καλοῦ ζήτησισ, κἂν ἀτυχῆται τὸ τέλοσ. τῷ δὲ φιλαύτῳ Κάϊν συναχθόμεθα, ὃσ ἀφάνταστον τὴν ἑαυτοῦ ψυχὴν τοῦ ὄντοσ καταλέλοιπε, τὸ ᾧ μόνῳ βλέπειν ἠδύνατο ἑκουσίωσ πηρώσασ.

7. Ἄξιον δὲ σκέψασθαι καὶ τὴν χώραν, εἰσ ἣν ἐκ προσώπου γενόμενοσ θεοῦ στέλλεται, ἐπειδὴ καλεῖται σάλοσ· δηλοῦντοσ τοῦ νομοθέτου ὅτι ὁ ἄφρων ἀστάτοισ καὶ ἀνιδρύτοισ ὁρμαῖσ κεχρημένοσ σάλον καὶ κλόνον, οἷα κυμαῖνον πέλαγοσ πρὸσ ἐναντίων πνευμάτων χειμῶνοσ ὥρᾳ, ὑπομένει, γαλήνησ δὲ ἢ νηνεμίασ ἀλλ' οὐδ' ὄναρ ἐπήσθηται. ὥσπερ δ' ὅταν ναῦσ σαλεύῃ ταλαντεύουσα, τότ' οὔτε πλεῖν οὔτε

---

4 δ' ὅτι: ita codex, non δὲ ὅτι. Contra v. 9 μήποτε, non μήποθ'

8 *Mang. 230.

8 ἐπιβολὰσ ψαύσασθαι: codex ἐπιβουλὰσ ψεύσασθαι. Emendationem iam Mang. indicavit.

12 ὃσ et τοῦ ὄντοσ scripsimus, ut iam Mang. scribi voluit, pro ὡσ et ὄντωσ.

15 χώραν: ita nobis cum Mang. reponendum pro κακίαν videbatur.

16 ἐπειδὴ: codex ἔστι δὲ ἡ

17 ὁ ἄφρων ἀστάτοισ: ita codex ἄφρων exeunte pagina posito. Edd. male ὁ ἀφραστάτοισ. Mang. certe ἀστάτοισ coniecit.

19 ὥρᾳ (ut iam Mang. commendavit): codex ὥρασ. Ibidem ἐπήσθηται: ita cum Mang. pro ἐπήρτηται.

20 δ' ὅταν codex, non δὲ ὅταν. Paullo vero post ταλαντεύουσα (Mang. „forte melius“) pro θαλαττεύουσα reposuimus.

ὁρμεῖν ἐστὶν ἱκανή, διαφερομένη δὲ ὧδε κἀκεῖσε πρὸσ ἑκάτερον τοῖχον ἀποκλίνει καὶ θαλαττεύουσα ἀντιρέπει, οὕτωσ ὁ φαῦλοσ παραφόρῳ καὶ χειμαινούσῃ διανοίᾳ κεχρημένοσ, εὐθύνειν τὸν ἑαυτοῦ πλοῦν ἀπταίστωσ ἀδυνατῶν, αἰεὶ σαλεύει, βίου μελετῶν ἀνατροπήν. ὁ δ' εἱρμὸσ τῆσ ἀκολουθίασ οὐ μετρίωσ με καταπλήττει· συμβαίνει γὰρ τὸ μὲν τῷ ἑστῶτι πλησιάζον ἠρεμίασ διὰ πόθον ὁμοιότητοσ ἐφίεσθαι. τὸ μὲν οὖν ἀκλινῶσ ἑστὼσ ὁ θεόσ ἐστι, τὸ δὲ κινητὸν ἡ γένεσισ· ὥστε ὁ μὲν προσιὼν θεῷ στάσεωσ ἐφίεται, ὁ δὲ ἀπαλλαττόμενοσ, ἅτε γενέσει τῇ τρεπομένῃ προσιών, κατὰ τὸ εἰκὸσ φορεῖται.

8. Διὰ τοῦτο ἐν ταῖσ ἀραῖσ γέγραπται ὅτι οὐκ ἀναπαύσει σε, οὐδ' οὐ μὴ γένηται στάσισ τῷ ἴχνει τοῦ ποδόσ σου, καὶ μικρὸν ὕστερον ὅτι ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου. πέφυκε γὰρ ὁ ἄφρων αἰεὶ παρὰ τὸν ὀρθὸν λόγον κινούμενοσ ἠρεμίᾳ καὶ ἀναπαύσει δυσμενὴσ εἶναι καὶ ἐπὶ μηδενὸσ ἑστάναι παγίωσ καὶ ἐρηρεῖσθαι δόγματοσ. ἄλλοτε γοῦν ἀλλοῖα δοξάζει, καὶ περὶ τῶν αὐτῶν ἔστιν ὅτε, μηδενὸσ περὶ αὐτὰ συμβεβηκότοσ καινοτέρου, τἀναντία μέγασ καὶ μικρόσ, καὶ ἐχθρὸσ καὶ φίλοσ, καὶ πάνθ', ὡσ ἔποσ εἰπεῖν, τὰ μαχόμενα ἐν ἀκαρεῖ χρόνου γινόμενοσ. καὶ ἔστιν αὐτῷ, *ὅπερ ἔφη ὁ νομοθέτησ, πᾶσα ἡ ζωὴ κρεμαμένη, βάσιν οὐκ ἔχουσα ἀκράδαντον, ἀλλὰ πρὸσ τῶν ἀντισπώντων καὶ μεθελκόντων ἀεὶ φορουμένη

1 κἀκεῖσε: ita codex, non καὶ ἐκεῖ, ut Mang.

2 ἀντιρέπει: ita scriptum est, non ἀντιρρέπει

4 αἰεὶ et ὁ δ' εἱρμὸσ codex. Edd. ἀεὶ et ὁ δὲ εἱρμὸσ

7 ἑστὼσ (sic scriptum est) ὁ θεόσ ἐστι: ita codex, non ἑστὼσ θεόσ ἐστιν, ut Mang.

11 ἀναπαύσει σε: ita pro ἀναπαύσεισ edi debebat.

11 sqq. cf. Deuteron. 28, 65 sq.

14 αἰεὶ codex, non ἀεὶ. Quod vero sequitur παρὰ pro περὶ edidimus. Mang. „forte παρὰ".

16 sq. ἄλλοτε etc. Hunc in modum iam Mang. reponi voluit. Codex sic: ἀλλ' ὅτι γοῦν — τῶν ἀστῶν ἔστιν ὅτε μηδὲν ὡσ περὶ αὐτὰσ etc.

19 ἐν ἀκαρεῖ χρόνου: ita codex, non ἐν ἀκαρεῖ χρόνῳ

19 * Mang. 231.

21 καὶ μεθελκόντων: ita recte codex; Mang. καὶ om.

πραγμάτων. οὗ χάριν ἐν ἑτέροισ κεκατηραμένον ὑπὸ θεοῦ τὸν κρεμάμενον ἐπὶ ξύλου, φησίν, ὅτι θεοῦ δεῖ ἐκκρέμασθαι. ὁ δὲ ἀπηώρησεν ἑαυτὸν σώματοσ, ὃσ ἐστιν ἐν ἡμῖν ξύλινοσ ὄγκοσ, ἐπιθυμίαν ἐλπίδοσ ἀντικαταλλαξάμενοσ, ἀγαθοῦ τελείου μέγιστον κακόν. ἐλπὶσ μὲν γὰρ τῶν ἀγαθῶν οὖσα προσδοκία ἐκ τοῦ φιλοδώρου θεοῦ τὴν διάνοιαν ἀρτᾷ, ἐπιθυμία δὲ ἀλόγουσ ἐμποιοῦσα ὀρέξεισ ἐκ τοῦ σώματοσ, ὃ δεξαμενὴν καὶ χώραν ἡδονῶν ἡ φύσισ ἐδημιούργησεν.

9. Οὗτοι μὲν οὖν ὥσπερ ἀπ᾿ ἀγχόνησ τῆσ ἐπιθυμίασ ἐκκρεμάσθωσαν. Ἀβραὰμ δὲ ὁ σοφὸσ ἐπειδὴ ἕστηκε, συνεγγίζει τῷ ἑστῶτι θεῷ· λέγει γὰρ ὅτι ἑστὼσ ἦν ἔναντι κυρίου καὶ ἐγγίσασ εἶπεν. ὄντωσ γὰρ ἀτρέπτῳ ψυχῇ πρὸσ τὸν ἄτρεπτον θεὸν μόνῃ πρόσοδόσ ἐστι, καὶ ἡ τοῦτον διακειμένη τὸν τρόπον ἐγγὺσ ὡσ ἀληθῶσ ἵσταται δυνάμεωσ θείασ. τό γε μὴν χρησθὲν τῷ πανσόφῳ Μωϋσῇ λόγιον ἐναργέστατα δηλοῖ τὴν περὶ τὸν σπουδαῖον βεβαιοτάτην εὐστάθειαν. ἔστι δὲ τὸ λόγιον τοιόνδε· σὺ δὲ αὐτὸσ στῆθι μετ᾿ ἐμοῦ. ἐξ οὗ δύο παρίστανται· ἓν μέν, ὅτι τὸ ὂν τὸ τὰ ἄλλα κινοῦν καὶ τρέπον ἀκίνητόν τε καὶ ἄτρεπτον, ἕτερον δ᾿, ὅτι τῆσ ἑαυτοῦ φύσεωσ ἠρεμίασ τῷ σπουδαίῳ μεταδίδωσιν. ὡσ γὰρ οἶμαι κανόνι ὀρθῷ τὰ στρεβλὰ εὐθύνεται, οὕτωσ τὰ κινούμενα κράτει τοῦ ἑστῶτοσ ἐπέχεταί τε καὶ ἵσταται. νυνὶ μὲν οὖν ἑτέρῳ στῆναι μετ᾿ αὐτοῦ παραγγέλλει. ἀλλαχόθι δέ φησι· ἐγὼ

---

1 cf. Deuteron. 21, 23.

2 δεῖ: codex δὲ. Mang. „melius ad sensum δεῖ". Ibidem codex ἐκκρέμασθαι, non ἐκκρεμᾶσθαι, item ὁ δέ, non ὅδε.

3 ὃσ ἐστιν: hanc codicis scripturam conservavimus. Mang. „scribe ὅ".

5 ἐκ τοῦ φιλοδώρου: sic codex. Edd. τοῦ om.

7 ἡδονῶν: ita codex. Pessime antea edebatur ἤγουν. Mang. „forte legendum ἢ ἀγγεῖον".

10 συνεγγίζει: ita scriptum est, non ut Mang. habet συνεγγίσασ. Item v. 11 ἔναντι codex, non ἐναντίον

11 cf. Gen. 18, 22 sq.

16 cf. Deuteron. 5, 31.

17 τὸ ὂν τὸ τὰ ἄλλα cum Mang. scripsimus pro τὸ ἀντὶ τὰ ἄλλα

18 τῆσ ἑαυτοῦ codex, Mang. τῆσ om.

καταβήσομαι μετὰ σοῦ εἰσ Αἴγυπτον, καὶ ἀναβιβάσω σε εἰσ τέλοσ, οὐχί, σὺ μετ' ἐμοῦ. διατί; ὅτι θεοῦ μὲν ἴδιον ἠρεμία καὶ στάσισ, γενέσεωσ δὲ μετάβασίσ τε καὶ μεταβατικὴ πᾶσα κίνησισ. ὅταν μὲν οὖν πρὸσ τὸ ἴδιον ἀγαθὸν καλῇ, σὺ μετ' ἐμοῦ στῆθι, φησίν, οὐκ, ἐγὼ μετὰ σοῦ· οὐ γὰρ στήσεται ὁ θεόσ, ἀλλ' ἀεὶ ἕστηκεν. ὅταν δὲ πρὸσ τὸ οἰκεῖον γενέσεωσ ἔρχηται, ὀρθότατα ἐρεῖ· ἐγὼ μετὰ σοῦ καταβήσομαι. σοὶ γὰρ ἡ τόπων ἐνάλλαξισ ἁρμόζει· ὥστε μετ' ἐμοῦ μὲν οὐδεὶσ κάτεισιν, ἐγὼ γὰρ οὐ τρεπόμενοσ, στήσεται δ', ὅτι περ ἠρεμία μοι φίλον. σὺν δὲ τοῖσ κατιοῦσι μεταβατικῶσ, ἀδελφὸν γὰρ καὶ συγγενὲσ αὐτοῖσ μετάβασισ, ἐγὼ καταβήσομαι, οὐ τοπικῶσ χωρία ἐναλλάττων, ὃσ τὸ πᾶν ἐμαυτοῦ πεπλήρωκα. καὶ τοῦτο μέντοι ποιῶ διὰ φύσεωσ οἶκτον λογικῆσ, ἵνα ἐκ τοῦ τῶν παθῶν ἀειδοῦσ πρὸσ τὸν *ὀλύμπιον χῶρον ἀρετῆσ ἀναβιβασθῇ, ποδηγετοῦντοσ ἐμοῦ, ὃσ τὴν εἰσ οὐρανὸν ἄγουσαν ὁδὸν ἀνατεμὼν λεωφόρον ἱκέτισι ψυχαῖσ, ὡσ μὴ κάμνοιεν ἐμβαδίζουσαι, πάσαισ ἀποδέδειχα.

10. Δεδηλωκότεσ οὖν ἑκάτερον, ἠρεμίαν τε ἀστείου καὶ ἄφρονοσ σάλον, τὸ ἑπόμενον τῷ λόγῳ συνεπισκεψώμεθα. φησὶ γὰρ Ναΐδ, τὸν κλόνον, εἰσ ὃν ἡ ψυχὴ μετῳκίσατο, ἀπέναντι Ἐδέμ. συμβολικῶσ δέ ἐστιν Ἐδὲμ ὀρθὸσ καὶ θεῖοσ λόγοσ, παρ' ὃ καὶ ἑρμηνείαν ἔχει τρυφήν, ὅτι ἐνευφραίνεται καὶ ἐντρυφᾷ πρὸ τῶν ἄλλων ἀμιγέσι καὶ ἀκράτοισ,

---

1 cf. Gen. 46, 4.

7 sq. μὲν οὐδεὶσ codex; Mang. μὲν om. Ibidem ἠρεμία: edd. ἠρεμίᾳ

10 οὐ τοπικῶσ (Mang. suspicatus est τονικῶσ): ita cum Mang. scripsimus pro τοπικῶσ οὐ.

12 ἐκ τοῦ τῶν: ita codex; Mang. ignorabat τοῦ. Neque vero pro ἀειδοῦσ cum Mang. ᾅδου reponere placuit.

13 *Mang. 232.

14 ἀνατεμὼν: sic codex, male Mang. ἀνατέμνω

15 κάμνοιεν (scriptum est potius κάμνοι) ἐμβαδίζουσαι: ita ex codice restituimus. Pro κάμνοι Mangeio relatum erat χαῦνοι. Hinc χαῦνοι ἐμβαδίζωσι legi voluit, atque etiam χαυνιάζωσι commendavit.

17 ἑκάτερον: ita codex, non ut Mang. ἑκατέραν

20 παρ' ὃ καὶ codex; apud Mang. καὶ omittitur.

ἔτι δὲ ἀρτίοισ καὶ πλήρεσι κεχρημένοσ ἀγαθοῖσ, ὕοντοσ τοῦ πλουτοδότου θεοῦ τὰσ παρθένουσ καὶ ἀθανάτουσ χάριτασ αὐτοῦ. φύσει δὲ μάχεται ἀγαθῷ κακόν, ἄδικον δικαίῳ, φρόνιμον ἄφρονι, καὶ πάνθ' ὅσα ἀρετῆσ πρὸσ τὰ κακίασ εἴδη. τοιοῦτόν ἐστι τὸ Ναῒδ ἄντικρυσ καὶ ἔναντι εἶναι Ἐδέμ.

11. Ταῦτ' εἰπών φησιν ἑξῆσ· καὶ ἔγνω Καΐν, φησί, τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ· καὶ ἦν οἰκοδομῶν πόλιν, καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ἆρ' οὐκ εἰκὸσ διαπορῆσαι, τίνα ἔγνω γυναῖκα ὁ Καΐν; γένεσισ γὰρ οὐδεμιᾶσ ἄλλησ μετὰ τὴν ἐκ τῆσ πλευρᾶσ διαπλασθεῖσαν Εὔαν ἄχρι νῦν μεμήνυται γυναικόσ. εἰ δέ φησί τισ ἀδελφῇ τὸν Καΐν συνεληλυθέναι, χωρὶσ τοῦ ἀνοσίου καὶ ψεύσεται· τὰσ γὰρ θυγατέρασ Ἀδὰμ ὀψὲ γεγενημένασ εἰσάγει. τί οὖν χρὴ λέγειν; γυναῖκα ἀσεβοῦσ λογισμοῦ, ὥσ γε οἴομαι, καλεῖ δόξαν, ἣν περὶ τῶν πραγμάτων τίθεται, καθάπερ μύριοι τῶν φιλοσοφησάντων, οἱ μὲν τὰ αὐτά, οἱ δὲ καὶ διαφέροντα εἰσηγησάμενοι τῷ βίῳ δόγματα. τί οὖν ἐστὶν ἀσεβοῦσ δόξα; μέτρον εἶναι πάντων χρημάτων τὸν ἀνθρώπινον νοῦν· ᾗ καὶ τῶν παλαιῶν τινὰ σοφιστῶν ὄνομα Πρωταγόραν φησὶ χρήσασθαι, τῆσ Καΐν ἀπονοίασ ἔκγονον. τεκμαίρομαι δὲ ἐνθένδεν ὅτι γνωρισθεῖσα αὐτῷ ἡ γυνὴ

---

2 sq. φύσει et ἄφρονι codex, nec aliter Mang. volebat; Mangeio vero relatum erat φύσισ et εὔφρονι.

4 τὸ Ναῒδ (cf. ad 84, 2.) ἄντικρυσ καὶ ἔναντι (codex καὶ tantum, ἔναντι supplevimus) εἶναι Ἐδέμ: quae an ita recte legantur satis dubium est. Mang. proposuit: τοιοῦτόν ἐστι τὸ κατεναντίον καὶ ἄντικρυσ εἶναι Ἐδέμ.

7 sqq. cf. Gen. 4, 17.

10 τίνα, ut iam Mang. voluit, pro τί scripsimus.

12 συνεληλυθέναι: ita codex et Mang. e coniectura, non συνεληλυθυίᾳ

13 ἀνοσίου: ita iam Mang. coniecit pro ἀπό σου. Codex corruptum quid habet: ἀπὸ ουσι, sed σι super ου posito, ita ut etiam σιου legi possit. Certe non est ἀπό σου.

17 εἰσηγησάμενοι: codex ἡγησάμενοι (Mang. „rectius ut puto εἰσηγ."). Ibidem ἀσεβοῦσ: Mang. „vel deest λογισμοῦ vel scribendum ἀσεβήσ".

20 ἐνθένδεν: ita codex (non ἐνθένδε), quam scripturam ex Cinnam. p. 19 attulit Dind. in Steph. Thes. 3, 1084. Sed dubitamus an ferri queat.

τὸν Ἐνὼχ ἀπέτεκεν· ἑρμηνεύεται δὲ Ἐνὼχ χάρισ σου. εἰ γὰρ πάντων μέτρον ἐστὶν ἄνθρωποσ, χάρισ ἐστὶ καὶ δωρεὰ τοῦ νοῦ τὰ πάντα, ὥστε ὀφθαλμῷ μὲν κεχάρισται τὸ βλέπειν, ὠσὶ δὲ τὸ ἀκούειν, ἑκάστῃ δὲ τῶν ἄλλων αἰσθήσεων τὸ αἰσθάνεσθαι, καὶ τῷ κατὰ τὴν προφορὰν μέντοι λόγῳ τὸ λέγειν. εἰ δὲ καὶ * ταῦτα, καὶ αὐτὸ δήπου τὸ νοεῖν, ἐν ᾧ μυρία ἐννοήματα, διανοήσεισ, βουλαί, προμήθειαι, καταλήψεισ, ἐπιστῆμαι, τέχναι, διαθέσεισ, ἄλλων ἀριθμὸσ δυνάμεων ἀδιεξίτητοσ. τί οὖν ἔτι σεμνομυθούμενοι περὶ ὁσιότητοσ καὶ θεοῦ τιμῆσ λέγειν τε καὶ ἀκούειν ἐγνώκατε, εἴγε ἔχετε παρ' ἑαυτοῖσ τὸν ἀντίθεον νοῦν, ὃσ πάντα ἀνὰ κράτοσ τὰ κατ' ἀνθρώπουσ ἀναψάμενοσ ἀγαθά τε καὶ κακὰ τοῖσ μὲν ἀμφότερα κερασάμενοσ, τοῖσ δὲ θάτερα ἄκρατα ἐπιπέμπει; κἂν ἄρα τισ γραφὴν ἀσεβείασ ἐπενέγκῃ καθ' ὑμῶν, ἀπολογούμενοι θαρρεῖτε, φάσκοντεσ παρ' ὑφηγητῇ καὶ διδασκάλῳ πάνυ καλῶσ πεπαιδεῦσθαι Κάϊν, ὃσ τὸ πλησίον πρὸ τοῦ μακρὰν αἰτίου παρῄνει τιμᾶν. ᾧ διά τε ἄλλα προσεκτέον, καὶ μάλισθ' ὅτι σαφέσιν ἔργοισ τὴν τοῦ δόγματοσ ἰσχὺν ἐπεδείξατο, νικήσασ τὸν τῆσ ἐναντίασ δόξησ εἰσηγητὴν Ἄβελ, καὶ ἅμ' αὐτῷ καὶ τὴν δόξαν ἐκποδὼν ἀνελών. ἀλλὰ παρ' ἔμοιγε καὶ φίλοισ τοῖσ ἐμοῖσ τῆσ μετὰ ἀσεβῶν ζωῆσ ὁ μετὰ εὐσεβῶν αἱρετώτεροσ ἂν εἴη θάνατοσ· τοὺσ μὲν γὰρ οὕτωσ ἀπο-

---

3 κεχάρισται: ita codex, non κεχαρίσθαι Ibidem ἑκάστῃ δὲ τῶν: ita codex, non ἑκάστῃ τῶν

5 *Mang. 233.

5 τὸ νοεῖν: τὸ ipsi addidimus invito codice.

7 ἀδιεξίτητοσ: ita egregie Mang. coniecit. Codex διεξιόντοσ.

8 ἔτι σεμνομυθούμενοι scripsimus pro ἐστὶ σεμνομυθούμενοι. Mang. proposuit τί οὖν ἐστιν, ὃ σεμνομυθ.

9 ἐγνώκατε: sic codex. Mangeio relatum erat ἐγνώκασαν, ipse coniecit ἐγνώκασιν. Ibidem correximus εἴγε ἔχετε pro εἰ δὲ ἔχετε

11 κερασάμενοσ cum Mang. pro κερασαμένοισ reponendum duximus.

12 ἐπιπέμπει: ita codex, non ἐπινέμει

14 καλῶσ: Mangey: „forte καλῷ". Ibidem τὸ πλησίον cum Mang. pro τῷ πλησίον dedimus.

17 ἅμ' αὐτῷ καὶ: ita codex. Apud Mang. καὶ deest.

19 τοὺσ μὲν γὰρ: ita codex. Rursus deest γὰρ apud Mang.

θανόντασ ἡ ἀθάνατοσ ἐκδέξεται ζωή, τοὺσ δὲ ἐκείνωσ ζῶντασ ὁ ἀΐδιοσ θάνατοσ.

12. Ἐπεὶ δὲ ὁ Κάϊν τὸν Ἐνὼχ γεγέννηκε, καὶ αὖθισ ἔκγονοσ τοῦ Σῆθ πάλιν Ἐνὼχ ὀνομάζεται, σκεπτέον ἂν εἴη πότερον ἑτέρουσ ἢ τοὺσ αὐτοὺσ εἶναι συμβέβηκεν. ἐρευνήσωμεν δ' ἅμα τούτοισ καὶ τῶν ἄλλων ὁμωνύμων διαφοράσ· ὥσπερ γὰρ Ἐνώχ, οὕτω καὶ Μαθουσάλα καὶ Λάμεχ ἀπόγονοι μὲν Κάϊν, ἀπόγονοι δ' οὐδὲν ἧττον καὶ τοῦ Σῆθ εἰσί. χρὴ τοίνυν εἰδέναι ὅτι τῶν λεχθέντων ἕκαστον ὀνομάτων ἑρμηνευθὲν διπλοῦν ἐστίν· ἑρμηνεύεται δ' ὁ μὲν Ἐνώχ, καθάπερ εἶπα, χάρισ σου, Μαθουσάλα δ' ἐξαποστολὴ θανάτου, ὁ δ' αὖ Λάμεχ ταπείνωσισ. τὸ μὲν οὖν χάρισ σου λέγεται μὲν πρὸσ τὸν ἐν ἡμῖν νοῦν ὑπ' ἐνίων, λέγεται δὲ καὶ πρὸσ τὸν τῶν ὅλων ὑπὸ τῶν ἀμεινόνων. οἱ μὲν οὖν φάσκοντεσ δωρεὰν εἶναι τῆσ ἑαυτῶν ψυχῆσ πάνθ' ὅσα ἐν τῷ νοεῖν ἢ αἰσθάνεσθαι ἢ λέγειν, ἀσεβῆ καὶ ἄθεον εἰσηγούμενοι δόξαν, γένει τῷ Κάϊν προσκεκληρώσθωσαν, ὃσ μηδ' αὐτοῦ κρατεῖν ἱκανὸσ ὢν καὶ τῶν ἄλλων ἁπάντων ἀπετόλμησεν εἰπεῖν ὡσ ἔχοι τὴν παντελῆ κτῆσιν· οἱ δ' ὅσα ἐν γενέσει καλὰ μὴ σφετεριζόμενοι, χάρισι δὲ ταῖσ θείαισ ἀναγράφοντεσ, εὐγενεῖσ πρὸσ ἀλήθειαν οὐκ ἐκ παλαιπλουσίων ἀλλ' ἐκ φιλαρέτων φύντεσ ὑπὸ ἀρχηγέτῃ τῷ * Σῆθ τετάχθωσαν. δυσεύρετον σφόδρα τὸ τούτων ἐστὶ γένοσ, ἀποδιδρασκόντων τὸν ἐπίβουλον καὶ

---

7 οὕτω καὶ Μαθουσάλα: Mang. invito codice οὕτωσ καὶ Μαθουσάλεμ.

10 καθάπερ εἶπα scripsimus pro καθάπερ εἶπε (Mang. „melius εἶπα").

11 Μαθουσάλα codex. Male edd. Μαθουσάλεμ.

13 τῶν ὅλων reposuimus pro τ. ἄλλων (Mang. „forte ὅλων").

16 προσκεκληρώσθωσαν: edd. Richt. et Tauchn. vitiose προσκεκληρώθωσαν. Ibidem μηδ' αὐτοῦ: ita codex. Apud Mang. est μὴ δι' αὐτοῦ, quod nescio an typorum vitio editum sit.

17 εἰπεῖν: sic, non ὡσ (Mang. „dele") εἰπεῖν

19 sq. ἐκ φιλαρέτων φύντεσ: ita codex. Mang. ἐκ φιλαρέτων καὶ * * φύντεσ.

20 * Mang. 234.

20 δυσεύρετον codex, non δυσάρετον. Mang. „melius ut videtur δυσ εύρετον".

ῥᾳδιουργὸν καὶ πανοῦργον καὶ κεχυμένον παθῶν τε καὶ κακιῶν πλήρη βίον. οὒσ γὰρ ὁ θεὸσ εὐαρεστήσαντασ αὐτῷ μετεβίβασε καὶ μετέθηκεν ἐκ φθαρτῶν εἰσ ἀθάνατα γένη, παρὰ τοῖσ πολλοῖσ οὐκέθ' εὑρίσκονται.

13. Διεσταλκότεσ οὖν τὰ περὶ τὸν Ἐνὼχ σημαινόμενα μέτιμεν ἑξῆσ ἐπὶ τὸν Μαθουσάλα, ὃσ ἦν ἐξαποστολὴ θανάτου. δύο δ' ἐκ ταύτησ παρίσταται φωνῆσ, ἓν μὲν καθ' ὅ τινι ἐπιπέμπεται θάνατοσ, ἕτερον δὲ καθ' ὃ ἀπό τινοσ ἀποστέλλεται. ὅτῳ μὲν οὖν ἐπιπέμπεται, θνήσκει πάντωσ ἐκεῖνοσ, ἀφ' οὗ δὲ ἀποστέλλεται, ζῇ τε καὶ περίεστι. τῷ μὲν δὴ Καΐν ὁ τὸν θάνατον δεχόμενόσ ἐστιν οἰκεῖοσ, ἀεὶ τὸν πρὸσ ἀρετὴν βίον θνήσκοντι, τῷ δὲ Σὴθ συγγενέστατοσ, ἀφ' οὗπερ ἀποστέλλεται καὶ διατειχίζεται τὸ ἀποθνήσκειν· τὴν γὰρ ἀληθῆ ζωὴν ὁ σπουδαῖοσ κεκάρπωται. καὶ μὴν ὅ γε Λάμεχ ταπείνωσισ ὢν ἀμφίβολόσ ἐστιν· ἢ γὰρ ὑφιεμένων τῶν τῆσ ψυχῆσ τόνων κατὰ τὰ ἐξ ἀλόγων παθῶν ἐγγενόμενα νοσήματά τε καὶ ἀρρωστήματα ταπεινούμεθα, ἢ κατ' ἀρετῆσ ζῆλον στέλλοντεσ ἑαυτοὺσ ἀπ' οἰδούσησ οἰήσεωσ. ἡ μὲν οὖν προτέρα γίνεται κατ' ἀσθένειαν, εἶδοσ τῆσ πολυμόρφου καὶ πολυτρόπου λέπρασ οὖσα. ὅταν γὰρ ἡ ὄψισ ταπεινοτέρα φαίνηται, τὴν ὁμαλὴν καὶ εὔτονον κλασθεῖσα φαντασίαν, τὴν χαλεπὴν νόσον λέπραν ὁ νομοθέτησ φησὶ γενέσθαι· ἡ δὲ ἑτέρα ἀπὸ ἰσχύοσ συνίσταται καὶ καρτερίασ, ᾗ καὶ ἱλασμὸσ ἕπεται, κατὰ τὸν τῆσ δεκάδοσ ἀριθμὸν τέλειον· προστέτακται γὰρ τὰσ ψυχὰσ ταπεινοῦν δεκάτῃ τοῦ μηνόσ,

---

2 οὒσ γάρ: ita codex, non οὕτωσ. Mang. „scribe ὡσ [οὓσ?] vel ὅσουσ."

10 οἰκεῖοσ cum Mang. pro οἶκοσ scribendum nobis videbatur.

13 καὶ μὴν pro καὶ μὲν reposuimus.

16 οἰδούσησ codex, non αἰδούσησ (Mang. „scribe οἰδούσησ")

17 προτέρα correximus pro πρότερον (Mang. „melius προτέρα"). Ibidem πολυτρόπου cum Mang. pro πολυτρόφου correximus, item v. 19 εὔτονον pro εὔψονον.

18 cf. Lev. 13, 3.

20 sq. καὶ καρτερίασ cum Mang. dedimus pro καρτερίασ.

22 cf. Lev. 23, 27.

ὅπερ ἐστὶ μεγαλαυχίαν ἀποτίθεσθαι, ἧσ ἡ ἀπόθεσισ ἀδικημάτων ἑκουσίων καὶ ἀκουσίων ἐργάζεται παραίτησιν. ὁ μὲν οὖν οὕτωσ ταπεινὸσ Λάμεχ ἔκγονοσ μέν ἐστι Σὴθ, πατὴρ δὲ τοῦ δικαίου Νῶε, ὁ δὲ ἐκείνωσ ἐκβλάστημα Καΐν.

14. Ἑπόμενον δ' ἂν εἴη σκέψασθαι τίνοσ ἕνεκα κτίζων καὶ οἰκοδομῶν πόλιν αὐτὸσ οὗτοσ εἰσάγεται· πλήθει γὰρ ἀνθρώπων μεγέθουσ δεῖ πόλεωσ πρὸσ οἴκησιν, τρισὶ δὲ κατ' ἐκεῖνον οὖσι τὸν χρόνον ὑπώρειά τισ ἢ μικρὸν ἄντρον αὐταρκέστατον ἦν διαίτημα. κἀγὼ μὲν εἶπον τρισί, τὸ δ' εἰκὸσ ἑνὶ μόνῳ ἑαυτῷ· οὐδὲ γὰρ οἱ γονεῖσ τοῦ δολοφονηθέντοσ τὴν αὐτὴν τῷ κτείναντι πόλιν ὑπέμειναν ἂν οἰκεῖν, μεῖζον ἀνδροφονίασ ἄγοσ ἀδελφοκτονίαν *ἐργασαμένῳ. τὸ μὲν γὰρ οὐ παράδοξον μόνον, ἀλλὰ καὶ παράλογον παντί τῳ δῆλον, ἕνα ἄνδρα πόλιν οἰκοδομεῖν. τίνα ἐπὶ τρόπον; ἀλλ' οὐδ' ἂν οἰκίασ μέροσ τὸ ἀφανέστατον, μὴ χρώμενον ὑπηρέταισ ἑτέροισ. ἢ ὁ αὐτὸσ ἐν τῷ αὐτῷ λιθοτομεῖν ἂν δύναιτο, ὑλοτομεῖν, σίδηρον, χαλκὸν ἐργάζεσθαι, τείχη, μέγαν κύκλον πόλει περιβάλλεσθαι, προπύλαια καὶ προτειχίσματα, ἱερὰ καὶ τεμένη καὶ στοασ καὶ νεωσοίκουσ καὶ οἰκίασ καὶ ὅσα ἄλλα δημόσια καὶ ἴδια ἔθοσ οἰκοδομεῖσθαι; καὶ ἔτι πρὸσ τούτοισ ὀχετεύειν, καὶ γῆν ἀναστέλλειν, στενωποὺσ ἀνευρύνειν, κρήνασ καὶ ὑδροροάσ καὶ

6 σκέψασθαι: codex σκύψασθαι

7 μεγέθουσ cum Mang. pro μεγέθοσ scripsimus.

8 ὑπώρειά scripsimus pro ὑπόρεια.

10 τοῦ δολοφονηθέντοσ: ita codex, non δολοφονηθέντοσ

11 ἂν post ὑπέμειναν ipsi supplevimus.

12 *Mang. 235.

13 παντί τῳ: ita codex, non παντὶ τῷ, ut omnes edd.

14 τίνα (scriptum est τινὰ) ἐπὶ τρόπον: ita codex, non τίνα ἐστὶ τρόπον. Quaeritur an recte.

17 πόλει: sic pro πόλεων reponendum videbatur.

19 ἔθοσ (ut edd.): ipse codex ἔθ'. Ibidem ὀχετεύειν: non tam hoc quam ὀχετοὺσ (cui addendum esset ἐλαύνειν vel simile verbum) ex codice (exeunte folio 63 recto) eruimus. Apud Mang. ἀχ—, ipse vero ἀχθοφορεῖν coniecit. Praeterea καὶ quod sequitur suspectum.

20 ὑδροροάσ edidimus, ut postea ipse codex. Hoc loco ὑδροράσ habet. Mang. „scribe ὑδρορροάσ".

ὅσων ἄλλων πόλει δεῖ κατασκευάζεσθαι; μήποτ᾽ οὖν, ἐπειδὴ ταῦτα τῆσ ἀληθείασ ἀπᾴδει, βέλτιον ἀλληγοροῦντασ λέγειν ἐστὶν ὅτι καθάπερ πόλιν τὸ αὑτοῦ δόγμα κατασκευάζειν ὁ Κάϊν ἔγνωκε.

15. Ἐπειδὴ τοίνυν πᾶσα πόλισ ἐξ οἰκοδομημάτων καὶ οἰκητόρων καὶ νόμων συνέστηκε, τὰ μὲν οἰκοδομήματά ἐστιν αὐτῷ λόγοι οἱ ἀποδεικνύντεσ, οἷσ καθάπερ ἀπὸ τείχουσ πρὸσ τὰσ τῶν ἐναντίων ἀπομάχεται προσβολάσ, πιθανὰσ εὑρέσεισ κατὰ τῆσ ἀληθείασ μυθοπλαστῶν, οἰκήτορεσ δὲ οἱ ἀσεβείασ, ἀθεότητοσ, φιλαυτίασ, μεγαλαυχίασ, ψευδοῦσ, δόξησ ἑταῖροι δοκησίσοφοι, τὸ πρὸσ ἀλήθειαν σοφὸν οὐκ εἰδότεσ, ἄγνοιαν καὶ ἀπαιδευσίαν καὶ ἀμαθίαν καὶ τὰσ ἄλλασ ἀδελφὰσ καὶ συγγενεῖσ κῆρασ συγκεκροτηκότεσ, νόμοι δὲ ἀνομίαι, ἀδικίαι, τὸ ἄνισον, τὸ ἀκόλαστον, θρασύτησ, ἀπόνοια, αὐθάδεια, ἡδονῶν ἀμετρίαι, τῶν παρὰ φύσιν ἄλεκτοι ἐπιθυμίαι. τοιαύτησ πόλεωσ ἕκαστοσ τῶν ἀσεβῶν ἐν ἑαυτῷ τῇ παναθλίᾳ ψυχῇ δημιουργὸσ εὑρίσκεται, μέχρισ ἂν ὁ θεὸσ χολωθεὶσ ταῖσ σοφιστικαῖσ αὐτῶν τέχναισ ἀθρόαν καὶ μεγάλην ἐργάσηται σύγχυσιν. τοῦτο δ᾽ ἔσται, ὅταν μὴ μόνον πόλιν καὶ πύργον οἰκοδομῶσιν, οὗ ἡ κεφαλὴ εἰσ οὐρανὸν ἀφίξεται, τοῦτ᾽ ἔστι νοῦν ἢ λόγον ἑκάστου κατασκευαστικόν, ὅνπερ εἰσηγοῦνται κεφαλὴν ἔχοντα τὸ οἰκεῖον νόημα, ὃ προσαγορεύεται συμβολικῶσ οὐρανόσ.

---

3 κατασκευάζειν ὁ Κάϊν cum Mang. scripsimus. Codex κατασκευάζει· ὃ καὶ ἔγνωκε

8 προσβολάσ, πιθανὰσ εὑρέσεισ: ita distinguendum duximus. Edd. Mang. (non item versio) Richt. Tauchn. προσβολὰσ πιθανάσ, εὑρέσεισ

10 ἑταῖροι cum Mang. pro ἕτεροι scripsimus.

14 παρὰ φύσιν (ut recte iam Mang. coniecerat) ipse codex, non περὶ φύσεωσ

15 ἐν ἑαυτῷ in codice est, non ἐξ ἑαυτοῦ. Ibidem ψυχῇ: codex ἢ addit.

16 χολωθεὶσ cum Mang. („forte χολωθεὶσ vel sec. LXX ἐνθυμηθεὶσ". At Gen. 11, 4 sqq. ἐνθυμηθεὶσ non legitur) scripsimus pro βουληθεὶσ, quod codex praebet.

18 sq. νοῦν ἢ λόγον: ita de coniectura scripsimus, quemadmodum Mang. τὸν νοῦν ἢ λόγον proposuit, conlatis aliis Philonis locis: de Somniis p. 632 et de Confus. linguar. p. 421. Codex nil nisi ἢ λόγον habet.

ἀνάγκη γὰρ παντὸσ λόγου κεφαλὴν καὶ τέλοσ εἶναι τὸν δηλούμενον νοῦν, οὗ χάριν αἱ μακραὶ διέξοδοί τε καὶ ῥήσεισ ὑπὸ λογίων ἀνδρῶν εἰώθασι γίνεσθαι.

16. Τοσοῦτον δ' ἐπαράτου ἀσεβείασ ἐπιβεβήκασιν, ὥστ' οὐ μόνον δι' ἑαυτῶν ἐγείρειν τὰσ τοιαύτασ πόλεισ ἀξιοῦσιν, ἀλλὰ καὶ φιλάρετον πληθὺν Ἰσραὴλ ἀναγκάζουσιν, ἐπιστάτασ καὶ διδασκάλουσ κακῶν ἔργων ἐπ' αὐτοῖσ χειροτονήσαντεσ. λέγεται γὰρ ὅτι κακωθέντεσ ὑπὸ τῶν ἐπιστατῶν τῷ βασιλεῖ τῆσ χώρασ * τρεῖσ πόλεισ οἰκοδομοῦσι, Πειθώ, Ῥαμεσσή, Ὤν, ἥ ἐστιν Ἡλιούπολισ. αὗται δὲ τροπικώτερον νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶσ ὄντα, δηλοῦσιν. ἡ μὲν γὰρ Πειθὼ ὁ λόγοσ ἐστίν, ὅτι περὶ τοῦτον τὸ πείθειν, ἔχει δὲ ἑρμηνείαν στόμα ἐκθλῖβον, ἐπειδήπερ καὶ ὁ τοῦ φαύλου λόγοσ ἐξωθεῖν καὶ ἀνατρέπειν τὰ σπουδαῖα μελετᾷ. Ῥαμεσσὴ δὲ ἡ αἴσθησισ· καθάπερ γὰρ ὑπὸ σητὸσ ὑφ' ἑκάστησ τῶν αἰσθήσεων νοῦσ ἐκβιβρώσκεται καὶ διεσθίεται, σειόμενοσ καὶ σπαραττόμενοσ· αἱ γὰρ ἐπεισιοῦσαι μὴ καθ' ἡδονὴν φαντασίαι λυπηρὸν καὶ ἐπίπονον ἀποτίκτουσι τὸν βίον. ἡ δὲ Ὢν καλεῖται μὲν βουνόσ, ἔστι δὲ συμβολικῶσ ὁ νοῦσ· ἐπὶ γὰρ τοῦτον οἱ πάντων θησαυρίζονται λόγοι. μάρτυσ δὲ καὶ ὁ νομοθέτησ τὴν Ὢν ἡλίου πόλιν προσαγορεύσασ· ὥσπερ γὰρ ἀνατείλασ ἥλιοσ τὰ κρυπτόμενα νυκτὶ ἐμφανῶσ ἐπιδείκνυται, οὕτωσ ὁ νοῦσ τὸ οἰκεῖον φῶσ ἀπο-

---

5 δ' ἐπαράτου cum Mang. scripsimus. Codex δ' ἀρετῆσ, non δι' ἀρετῆσ

7 ἀναγκάζουσιν cum Mang. dedimus. Codex ἀνακρ(α)ζουσιν

8 ἐπ' αὐτοῖσ: ita codex, non ἐπ' αὐτῆσ

8 cf. Exod. 1, 11.

9 *Mang. 236.

10 Πειθώ: codex πϋθώ. Item v. 12.

13 ἐξωθεῖν cum Mang. („forte") pro ἔξωθεν dedimus, item v. 15 ὑφ' ἑκάστησ pro ὑφ' ἑκάστῃ.

17 λυπηρὸν: ita codex. Antea **πηρὸν, ad quod Mang. notavit: forte ἀνάπηρον. Ibidem ἀποτίκτουσι τὸν βίον: codex ἀποτίκτουσιν αὐτὸν βίον. Mang. ἀποτ. αὐτοῦ βίον proposuit. αὐτοῦ lectioni certe αὐτοῦ τὸν praeferrem. Si Philonis usus ferret, ἀποτ. αὖ τὸν βίον scribi posset.

στέλλων πάντα καὶ τὰ σώματα καὶ πράγματα τηλαυγῶσ παρασκευάζει καταλαμβάνεσθαι. διόπερ οὐκ ἄν τισ εἰπὼν ἁμάρτοι τοῦ συγκρίματοσ εἶναι ἡμῶν τὸν νοῦν ἥλιον, ὃσ ἐν ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ μὴ ἀνατείλασ καὶ τὸ ἴδιον φέγγοσ ἐκλάμψασ, πολὺ σκότοσ τῶν ὄντων καταχέασ, οὐδὲν ἐᾷ προφέρεσθαι.

17. Τὸν βουνὸν τοῦτον ὁ ἀσκητὴσ Ἰακὼβ ἐν τοῖσ πρὸσ Λάβαν δικαίοισ μάρτυρα καλεῖ, δογματικώτατα δηλῶν ὅτι ὁ νοῦσ ἑκάστῳ μάρτυσ ἐστὶν ὧν ἐν ἀφανεῖ βουλεύεται, καὶ τὸ συνειδόσ, ἔλεγχοσ ἀδέκαστοσ καὶ πάντων ἀψευδέστατοσ, πρὸ τούτων τῶν πόλεων οἰκοδομεῖται. φησὶ γὰρ τοὺσ κατασκόπουσ ἐλθεῖν εἰσ Χεβρών, ἐκεῖ δ' εἶναι Ἀχειμὰν καὶ Σεσεὶν καὶ Θαλαμείν, γενεᾶσ Ἐνώχ. εἶτ' ἐπιφέρει· καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τάνιν Αἰγύπτου. φυσικωτάτωσ τὰσ ὁμωνυμίασ εἴδεσι διαστέλλεται. Χεβρὼν ἑρμηνεύεται συζυγή· δισσὸν δὲ τοῦτο, ψυχῆσ ἢ σώματι συνεζευγμένησ ἢ πρὸσ ἀρετὴν ἡρμοσμένησ. ἡ μὲν οὖν σωματικαῖσ συζυγίαισ ὑποβάλλουσα αὑτὴν οἰκήτορασ ἔχει τοὺσ λεχθέντασ· ἑρμηνεύεται δὲ ὁ μὲν Ἀχειμὰν ἀδελφόσ μου, ὁ δὲ Σεσεὶν ἐκτόσ μου, ὁ δὲ Θαλαμεὶν κρεμάμενόσ τισ· ἀνάγκη γὰρ ψυχαῖσ ταῖσ φιλοσωμάτοισ ἀδελφὸν μὲν νομίζεσθαι τὸ σῶμα, τὰ δὲ ἐκτὸσ ἀγαθὰ διαφερόντωσ τετιμῆσθαι. ὅσαι δὲ τοῦτον διάκεινται τὸν τρόπον, ἀψύχων ἐκκρέμανται καί, * καθάπερ οἱ ἀνασκολοπισθέντεσ, ἄχρι θανάτου φθαρταῖσ ὕλαισ προσήλωνται. ἡ δὲ τῷ καλῷ συνεζευγμένη διαφερόντων ταῖσ ἀρεταῖσ ἔλαχεν οἰκητόρων, οὓσ

---

3 ὃσ ἐν cum Mang. dedimus pro ὃ ὡσ ἐν.

4 πολύ: vix aliter codex. Mangeio πολὺν relatum erat.

13 cf. Num. 13, 23.

13 Τάνιν: codex τὰ νῦν

13 sq. φυσικωτάτωσ τὰσ ὁμωνυμίασ: ita codex et Mangeii coniectura. Relatum erat φυσικωτάτοισ τὰσ ὁμωνύμασ.

14 διαστέλλεται, ut proposuit Mang., pro διαστέλλεσθαι scripsimus.

18 Θαλαμείν: editum erat Θαλμεὶν, sed codex θαθαμεὶν

21 * Mang. 237.

23 διαφερόντων cum Mang. („melius") pro διαφερόντωσ scripsimus.

τὸ διπλοῦν σπήλαιον ζυγάδην κεχώρηκεν, Ἀβραὰμ Σάρραν, Ἰσαὰκ Ῥεβέκκαν, Λείαν Ἰακώβ, ἀρετὰσ καὶ τοὺσ ἔχοντασ. ἡ Χεβρὼν αὕτη, μνήμασ ἐπιστήμησ καὶ σοφίασ θησαυροφυλακοῦσα, προτέρα καὶ τῆσ Τάνεωσ καὶ πάσησ ἐστὶν Αἰγύπτου. πρεσβυτέρασ γὰρ ἡ φύσισ ψυχὴν μὲν σώματοσ, Αἰγύπτου, ἀρετὴν δὲ κακίασ, Τάνεωσ, ἐντολὴ γὰρ ἀποκρίσεωσ ἑρμηνεύεται Τάνισ, εἰργάζετο, τὸ πρεσβύτερον ἀξιώματι μᾶλλον ἢ χρόνου μήκει δοκιμάσασα.

18. Παρ' ὃ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ πρωτόγονον υἱὸν ἀξιώματι καλεῖ, διασυνιστὰσ ὅτι τὸν θεὸν ὁρῶν, ἀρχεγονώτατον ὄν, τετίμηται τοῦ ἀγεννήτου γέννημα πρώτιστον, ἐκ τῆσ παρὰ τοῖσ θνητοῖσ μισουμένησ ἀρετῆσ ἀποκυηθέν, ᾧ ὁ νόμοσ ἐστὶν ὡσ πρεσβυτάτῳ διπλᾶ δίδοσθαι τὰ πρεσβεῖα. διὰ τοῦτο καὶ ἡ ἑβδόμη τάξει μὲν ἐπιγέννημά ἐστιν ἑξάδοσ, δυνάμει δὲ πρεσβυτάτη παντὸσ ἀριθμοῦ, μηδὲν διαφέρουσα μονάδοσ. δηλώσει δὲ καὶ αὐτὸσ ἐν τῷ τῆσ κοσμοποιίασ ἐπιλόγῳ φάσκων· καὶ κατέπαυσεν ὁ θεὸσ ἐν τῇ ἡμέρᾳ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸσ τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸσ ποιῆσαι. εἶτ' ἐπιλέγει· αὕτη ἡ βίβλοσ γενέσεωσ οὐρανοῦ καὶ γῆσ, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸσ τὸν οὐρανὸν καὶ τὴν γῆν. τῇ δὲ πρώτῃ ταῦτα γέγονεν, ὥστε τὴν ἑβδόμην εἰσ μονάδα τὴν πρώτην καὶ ἀρχὴν τῶν ὅλων ἀναφέρε-

---

2 ἡ Χεβρὼν αὕτη: ita codex, nisi quod αὐτὴ habet. Edd. ἡ om.

3 καὶ σοφίασ: ita cum Mang. scripsimus. Codex καὶ om.

3 sq. τῆσ Τάνεωσ: ita cum Mang. pro τῆσ (Mangeio relatum erat τοῖσ) νεωστὶ correximus. Item paullo post πρεσβυτέρασ et Αἰγύπτου pro πρεσβύτεροσ et αἰγυπτίου.

10 ὁρῶν cum Mang. pro ὁρᾶν reposuimus.

11 τοῦ ἀγεννήτου: edd. addunt praeeunte Mangeio διασυνήτου. Quod quomodo in textum inrepserit nescio; nihil enim eiusmodi in ipso codice repperi.

13 cf. Deuteron. 21, 17.

16 cf. Gen. 2, 2 sqq.

σθαι. ταῦτ' ἐμηκύναμεν ὑπὲρ τοῦ δεῖξαι τηλαυγέστερον τὴν δόξαν, ἣν ὁ Καΐν ὥσπερ τινὰ πόλιν οἴεται δεῖν κατασκευάζειν.

19. Υἱὸσ δὲ τοῦ Ἐνὼχ λέγεται Γαϊδάδ, ὃ ἑρμηνεύεται ποίμνιον, σφόδρα ἀκολούθωσ· τὸν γὰρ τῷ νῷ χαριζόμενον τὰ πάντα, τῷ μηδὲ τὴν αὐτοῦ φύσιν ἥτισ ἐστὶ καταλαβεῖν δυναμένῳ, γεννᾶν ἀλόγουσ ἥρμοττε δυνάμεισ, ἀγειρομένασ εἰσ ποίμνιον· οὐ γὰρ λογίων ἀνδρῶν τὸ δόγμα. ποίμνη δὲ πᾶσα τὸν ἐπιστάντα οὐκ ἔχουσα ποιμένα μεγάλαισ ἐξ ἀνάγκησ κακοπραγίαισ * χρῆται, ἅτ' οὐ δυναμένη δι' ἑαυτῆσ ἀπωθεῖσθαι μὲν τὰ βλάπτοντα, αἱρεῖσθαι δὲ τὰ ὠφελήσοντα. παρ' ὃ καὶ Μωϋσῆσ εὐχόμενόσ φησιν· ἐπισκεψάσθω κύριοσ ὁ θεὸσ τῶν πνευμάτων καὶ πάσησ σαρκὸσ ἄνθρωπον ἐπὶ τῆσ συναγωγῆσ ταύτησ, ὅστισ ἐξελεύσεται πρὸ προσώπου αὐτῶν καὶ ὅστισ εἰσελεύσεται, καὶ ὅστισ ἐξάξει αὐτοὺσ καὶ ὅστισ εἰσάξει, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα οἷσ οὐκ ἔστι ποιμήν. ὅταν γὰρ ὁ προστὰσ ἢ ὁ ἐπίτροποσ ἢ πατήρ, ἢ ὅ τι φίλον καλεῖν, τοῦ συγκρίματοσ ἡμῶν, ὁ ὀρθὸσ λόγοσ, οἴχηται καταλιπὼν τὸ ἐν ἡμῖν ποίμνιον ἀτημέλητον ἐαθέν, διόλλυται μὲν αὐτό, μεγάλη δὲ τῷ δεσπότῃ ζημία γίνεται· τὸ δ' ἄλογον καὶ ἀπροστασίαστον θρέμμα χηρεῦσαν ἀγελάρχου τοῦ νου-

---

1 τὴν δόξαν: ita codex. Edd. τὴν omiserant.

6 γεννᾶν: ita codex, non γεννεᾶσ (sic), quod Mang. edidit, suspicatus („melius") γεννῆσαι corrigendum esse.

7 ἀγειρομένασ: ita cum Mang. pro ἐγειρομένασ correximus. Ibidem pro λογικῶν conlato loco 99, 2 λογίων reposuimus.

8 ἐπιστάντα: ita codex et Mangeii coniectura pro ἐπιστάτα, quod illi relatum erat.

9 * Mang. 238.

11 εὐχόμενοσ: ita codex, non ἐχόμενοσ

13 εἰσελεύσεται (cum Mangeio): codex rursus ἐξελεύσεται

15 ὡσεὶ: ita codex, non ὥσπερ. Praeterea cf. Num. 27, 16.

18 ἐαθὲν: ita codex et Mang. coniectura pro ἐσθὲν. Ibidem αὐτὸ (cum Mang.) scripsimus pro ἑαυτὸ (non ἑαυτῇ, ut Mangeio relatum erat).

19 ἀπροστασίαστον: ita codex. Mangey ἀποστρασίαστον edidit; qui secuti sunt, errore operarum non satis intellecto, ἀποστασίαστον.

θετήσοντόσ τε καὶ παιδεύσοντοσ μακρὰν λογικῆσ καὶ ἀθανάτου ζωῆσ ἀπῴκισται.

20. Διὸ τοῦ Γαϊδὰδ υἱὸσ εἶναι λέγεται Μεήλ, οὗ τὸ ὄνομα μεταληφθέν ἐστιν ἀπὸ ζωῆσ θεοῦ. ἐπεὶ γὰρ τὸ ποίμνιον ἄλογον, ὁ δὲ θεὸσ πηγὴ λόγου, ἀνάγκη τὸν ἀλόγωσ βιοῦντα τῆσ θεοῦ ζωῆσ ἀπεσχοινίσθαι. τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγαπᾶν αὐτὸν ὁρίζεται Μωϋσῆσ· λέγει γὰρ ὅτι ἡ ζωή σου τὸ ἀγαπᾶν τὸν ὄντα. τοῦ δ' ἐναντίου βίου παράδειγμα τίθεται τὸν ἀποτυχόντα τοῦ κλήρου τράγον· στήσει γὰρ αὐτόν, φησί, ζῶντα ἐναντίον κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥστε ἐξαποστεῖλαι αὐτὸν εἰσ τὴν ἀποπομπήν· ἄγαν ἐξητασμένωσ. ὡσ γὰρ ἡδονῶν ἀπεχομένουσ πρεσβύτασ εὖ φρονῶν οὐκ ἄν τισ ἀποδέξαιτο, ὅτι τὸ γῆρασ ἡ μακρὰ καὶ ἀνίατοσ νόσοσ τοὺσ τῶν ὀρέξεων ἐχάλασέ τε καὶ ἔλυσε τόνουσ, ἐπαίνου δ' ἂν ἀξιώσειε τοὺσ ἡβῶντασ, ὅτι φλεγούσησ τῆσ ἐπιθυμίασ ὑπὸ τῆσ κατὰ τὴν ἡλικίαν ἀκμῆσ ὅμωσ σβεστηρίων ὀργάνων τῶν κατὰ παιδείαν λόγων εὐπορήσαντεσ τὸν πολὺν φλογμὸν ἅμα καὶ βρασμὸν τῶν παθῶν ἐπεκούφισαν· οὕτωσ οἷσ μὲν οὐδὲν νόσημα, οἷα ἐκ πονηρᾶσ φιλεῖ διαίτησ ἐπανίστασθαι, ἐλάττων ἔπαινοσ ἕπεται, ὅτι κατὰ φύσεωσ εὐμοιρίαν ἀπροαιρέτωσ ἐχρήσαντο εὐτυχίᾳ, οἷσ δ' ἐξεγερθὲν ἀντιστατεῖ, μείζων, εἰ δὴ διε-

---

8 cf. Deuteron. 30, 20.

11 cf. Lev. 16, 10.

15 φλεγούσησ: ita codex, non φλεγουσῶν

16 σβεστηρίων: ita procul dubio corrigendum erat. Codex βεστηρίων in textu, σφεστηρίων in margine. Mangeii amicus legerat ἐφεστηρίων. Mangey: „quid si reponatur σχαστηρίων?"

17 ἅμα καὶ pro ἀλλὰ καὶ correximus.

18 οὕτωσ οἷσ μὲν οὐδὲν νόσημα οἷα ἐκ: ita rectissime ipse codex, non ut male lectum erat: ἐνῶσ οἷσ μὲν οὐδὲν νόσημα οἷσ ἐκ, quorum loco Mangey proposuit ὥστε οἷσ μὲν οὐδὲν νόσημα ἐκ.

19 ἀπροαιρέτωσ: Mangey: „melius ἀπροαιρέτῳ".

20 εἰ δὴ (cum Mang.): codex εἰ δὲ. Quod vero sequitur διερεισάμενοι, ipse codex ni fallor praebet, non διερεισάμενοσ.

ρεισάμενοι καθελεῖν αὐτὸ βουληθεῖέν τε καὶ δυνηθεῖεν. τὰ γὰρ ἡδονῆσ ἑλκούσησ δελέατα αὐστηρῷ τόνῳ καθελεῖν ἰσχύσαι τὸν ἐφ᾽ ἑκουσίοισ ἔχει κατορθώμασιν ἔπαινον. ὅταν οὖν τούτων εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδέν, ζῇ δὲ ἐν ἡμῖν τὰ ἀποπομπαῖα νοσήματα καὶ ἀρρωστήματα, * σπουδάζωμεν αὐτὰ ἀνατρέπειν καὶ καταβάλλειν· τὸ γὰρ ἐξιλάσασθαι ἐπ᾽ αὐτῶν τοιοῦτόν ἐστιν ὁμολογῆσαι ὅτι ἔχοντεσ αὐτὰ ἐν ψυχῇ ζῶντα καὶ περιόντα οὐκ ἐνδίδομεν, ἀλλ᾽ ἀντιβάντεσ ἅπασι καρτερῶσ ἀπομαχόμεθα, μέχρισ ἂν παντελῶσ ἀποδιοπομπησώμεθα.

21. Τί δὲ ἕπεται τῷ μὴ κατὰ βούλημα τὸ τοῦ θεοῦ ζῶντι ἢ θάνατοσ ὁ ψυχῆσ; οὗτοσ δὲ ὀνομάζεται Μαθουσάλα, ὃσ ἑρμηνευθεὶσ ἦν ἐξαποστολὴ θανάτου. διὸ τοῦ Μεὴλ υἱόσ ἐστι, τοῦ τὸν ἴδιον βίον ἀπολελοιπότοσ, ᾧ τῷ ἀποθνήσκειν ἐπιπέμπεται ψυχῆσ θάνατοσ, ἣ κατὰ πάθουσ ἀλόγου ἐστὶν αὐτῆσ μεταβολή. τοῦτο μέντοι τὸ πάθοσ ὅταν κυοφορήσῃ, μετὰ χαλεπῶν ὠδίνων νοσήματα καὶ ἀρρωστήματα ἔτεκεν ἀνίατα, ὑφ᾽ ὧν ἰλυσπωμένη ταπεινοῦται καὶ κάμπτεται· πιέ-

---

2 ἑλκούσησ: ita pro ὁλκοῦ quod codex praebet (non ὁλκὸν) reponendum videbatur. Mangey: „scribe ὁλκοῦ". At vertit *attrahentis*. Sequitur ibidem δελέαστα (ed. Richt. δελέαστρα), cuius loco δελέατα reponendum duximus. Scripsimus ἰσχύσαι (non ἰσχῦσαι) duce ipso codice.

3 ὅταν cum Mang. pro ἔτ᾽ ἂν scripsimus.

3 sq. εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδέν: pro his sic fere scribi potest κατ᾽ εὐδ. κλῆρον ἀπολάχωμεν μηδέν. At emendatio non satis certa est. Praeterea etiam quae sequuntur: ζῇ δὲ ἐν ἡμῖν — τὸ γὰρ ἐξιλάσασθαι ἐπ᾽ αὐτῶν τοιοῦτόν ἐστιν obscuritate laborant nec recte procedere videntur. Recte igitur iam Mangey adnotavit: „locus hic mendosus et ut videtur mutilus".

5 * Mang. 239.

7 ἀντιβάντεσ: ita codex, non ἀντιβαίνοντεσ

11 βούλημα τὸ (cum Mang.): codex βουλήματι

13 ἐξαποστολή (cum Mang.): codex ἀποστή, στή supra o posito. Ibidem θανάτου, non τοῦ θανάτου in codice est.

14 τῷ pro τὸ substituimus. Praeterea edd. textum sic distinxerant: ᾧ τὸ ἀποθνήσκειν ἐπιπέμπεται· ψυχῆσ. Ibidem ἥ: ita codex (non ὅσ). Similis attractio haud infrequens apud Philonem, si libris scriptis fides habenda est.

15 ἀλόγου cum Mang. („forte") pro ἄλογοσ scripsimus.

ζει γὰρ αὐτὴν ἕκαστον, ἐπιφέρον ἄχθοσ ἀνήνυτον, ὡσ μηδ' ἀνακῦψαι δύνασθαι. τοῦθ' ἅπαν ὠνόμασται Λάμεχ, ἑρμηνείαν γὰρ ἔχει ταπείνωσιν, ἵν' εἰκότωσ τοῦ Μαθουσάλα γένηται ὁ Λάμεχ υἱόσ, πάθοσ τοῦ περὶ ψυχὴν θανάτου ταπεινόν, ὑπεῖκον, ἀλόγου ὁρμῆσ ἔκγονον ἀρρώστημα.

22. Ἔλαβε δ' ἑαυτῷ Λάμεχ δύο γυναῖκασ· ὄνομα τῇ μιᾷ Ἀδά, καὶ ὄνομα τῇ δευτέρᾳ Σέλλα. πᾶν ὅ τι ἐὰν ἑαυτῷ λαμβάνῃ φαῦλοσ, πάντωσ ἐστὶν ἐπίληπτον, ἅτε γνώμῃ δυσκαθάρτῳ μιαινόμενον· καὶ γὰρ ἔμπαλιν αἱ τῶν σπουδαίων ἑκούσιοι πράξεισ ἐπαινεταὶ πᾶσαι. διὸ νῦν μὲν ὁ Λάμεχ ἑαυτῷ γυναῖκασ αἱρούμενοσ κακὰ μέγιστα αἱρεῖται· αὖθισ Ἀβραάμ, Ἰακώβ, Ἀαρὼν ἑαυτοῖσ λαμβάνοντεσ ἀγαθοῖσ οἰκείοισ συνέρχονται. λέγει ἐπὶ μὲν τοῦ Ἀβραὰμ οὕτωσ· καὶ ἔλαβον Ἀβραὰμ καὶ Ναχὼρ ἑαυτοῖσ γυναῖκασ· ὄνομα τῇ γυναικὶ Ἀβραὰμ Σάρρα. ἐπὶ δὲ τοῦ Ἰακώβ· ἀναστὰσ ἀπόδραθι εἰσ τὴν Μεσοποταμίαν εἰσ τὸν οἶκον Βαθουὴλ πατρὸσ τῆσ μητρόσ σου, καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν ἀδελφοῦ τῆσ μητρόσ σου. ἐπὶ δὲ τοῦ Ἀαρών· ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλιζαβέτ, θυγατέρα Ἀμιναδάμ, ἀδελφὴν Ναασσών, ἑαυτῷ γυναῖκα. Ἰσαὰκ δὲ καὶ Μωϋσῆσ λαμβάνουσι μέν, οὐ δι' ἑαυτῶν δὲ λαμβάνουσιν, ἀλλ' ὁ μὲν Ἰσαὰκ ὅτε εἰσῆλθεν εἰσ τὸν οἶκον τῆσ μητρὸσ λαβεῖν λέγεται, Μωϋσεῖ

---

1 μηδ' ἀνακῦψαι cum Mang. pro μηδένα κῦψαι dedimus.

3 sq. πάθοσ τοῦ περὶ ψυχὴν θανάτου ταπεινόν: ita (cum Mang.) pro πάθουσ – ταπεινοῦ.

7 cf. Gen. 4, 19.

7 τῇ μιᾷ Ἀδά: ita codex, non τῇ μιᾷ δὲ Ἀδά

13 ἐπὶ μὲν τοῦ: ita codex; edd. τοῦ om. Ibidem codex ἔλαβεν pro ἔλαβον.

15 ἐπὶ δὲ τοῦ: δὲ ipsi supplevimus. Cf. v. 13 et v. 18. Praeterea cf. Gen. 11, 29.

16 Gen. 28, 2.

18 Exod. 6, 23. Pro ἔλαβε in codice ἔλαθε scriptum est.

20 Gen. 24, 67.

21 λαβεῖν: ita scriptum est, non λαμβάνειν. Ibidem μωϋσεῖ, non μωϋσῆσ

δὲ ὁ ἄνθρωποσ παρ' ᾧ κατῴκησε τὴν θυγατέρα Σεπφώραν ἐκδίδοται.

23. Τούτων δ' οὐ παρέργωσ αἱ διαφοραὶ παρὰ τῷ νομοθέτῃ *μεμήνυνται. τοῖσ μὲν γὰρ ἀσκηταῖσ προκόπτουσι καὶ βελτιουμένοισ ἡ ἑκούσιοσ αἵρεσισ τἀγαθοῦ μαρτυρεῖται, ἵνα μηδ' ὁ πόνοσ ἀστεφάνωτοσ ἀφεθῇ, τοῖσ δ' αὐτοδιδάκτου καὶ αὐτομαθοῦσ σοφίασ ἀξιωθεῖσιν ἕπεται τὸ μὴ δι' ἑαυτῶν, παρὰ θεοῦ δ' ἐγγυᾶσθαι λόγον καὶ λαμβάνειν τῶν σοφῶν σύμβιον ἐπιστήμην. ὁ δὲ τῶν ἀνθρωπίνων ἀποριφείσ, ὁ ταπεινὸσ καὶ χαμαίζηλοσ Λάμεχ, προτέραν Ἀδὰ ἄγεται γυναῖκα, ἥτισ ἑρμηνεύεται μαρτυρία, προξενήσασ ἑαυτῷ αὐτὸσ τὸν γάμον· οἴεται γὰρ τὴν κατὰ τὰσ εὐθίκτουσ ἐπιβολὰσ λείαν κίνησιν καὶ διέξοδον τοῦ νοῦ, μηδενὸσ τῶν εἰσ εὐμαρῆ κατάληψιν κωλυσιεργοῦντοσ, ἀγαθὸν εἶναι πρῶτον ἀνθρώπῳ. τί γὰρ ἂν εἴη, φησί, κρεῖττον τοῦ τὰσ ἐννοίασ, τὰσ διανοήσεισ, τὰσ εἰκασίασ, τοὺσ στοχασμούσ, συνόλωσ τὰσ βουλάσ, τὸ λεγόμενον, ἀρτίοισ ποσὶ βαίνειν, ὡσ ἐπὶ τὸ τέλοσ ἀπταίστωσ προσέρχεσθαι, μαρτυρουμένησ ἐν ἅπασι λεχθεῖσι διανοίασ; ἐγὼ δ', εἰ μέν τισ εὐθυβόλῳ καὶ εὐθίκτῳ γνώμῃ πρὸσ μόνα χρῆται τὰ καλά, τοῦτον εὐδαίμονα γράφω, διδασκάλῳ τῷ νόμῳ χρώμενοσ· καὶ γὰρ αὐτὸσ ἄνδρα ἐπιτυγχάνοντα εἶπε τὸν Ἰωσήφ, οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν οἷσ ὁ θεὸσ τὸ εὐοδεῖν ἐχαρίζετο· δωρεαὶ δ' αἱ τοῦ θεοῦ καλαὶ πᾶσαι. εἰ δέ τισ τῷ τῆσ φύσεωσ εὐστόχῳ καὶ εὐτρόχῳ μὴ πρὸσ τὰ ἀστεῖα μόνον, ἀλλὰ καὶ πρὸσ τὰ ἐναντία κέχρηται, ἐν διαφορᾷ ἀδιάφοροσ ὤν, κακο-

---

1 Σεπφώραν: in codice est σεμπωφώραν

5 *Mang. 240.

9 τῶν σοφῶν σύμβιον: codex τὸν σοφῶν σύμβιον. Ibidem ἀποριφείσ: ita scriptum est, non ἀπορριφείσ.

11 μαρτυρία cum Mang. pro μάρτυρα correximus. Item v. 12 εὐθίκτουσ pro εὐθήκτουσ, sed ἐπιβολὰσ non cum ἐπιβουλὰσ permutandum videbatur.

13 κωλυσιεργοῦντοσ (non κωλυσιουργ. ut edd. Richt. et Tauchn.): sic corrigendum pro κωλυσιεργούντων videbatur.

17 ἐν ἅπασι λεχθεῖσι: ita vix recte legitur.

18 εὐθίκτῳ rursus pro εὐθήκτῳ scripsimus.

20 cf. Gen. 39, 2 sqq.

23 ἐν διαφορᾷ cum Mang. pro εὐδιαφορᾷ

δαιμονιζέσθω. ἐν γοῦν ἀρᾶσ εἴδει λέγεται κατὰ τὸν τῆσ συγχύσεωσ τόπον, ὅτι οὐκ ἐκλείψει ἐξ αὐτῶν πάνθ᾽ ὅσα ἂν ἐπιθῶνται ποιεῖν· ὄντωσ γὰρ ἀνήκεστόσ ἐστι συμφορὰ ψυχῇ εὐοδεῖν οἷσ ἂν ἐπιθῆται καὶ τὰ αἴσχιστα. ἐγὼ δ᾽ ἂν εὐξαίμην, εἴ ποτε διανοηθείην ἀδικεῖν, ἐπιλιπεῖν τὸ ἀδικεῖν, καὶ εἴπερ ζῆν ἀνάνδρωσ, ἐπιλιπεῖν τὸ ἀκολασταίνειν, καὶ εἰ θρασέωσ μέντοι καὶ πανούργωσ, ἔνδειαν θρασύτητοσ καὶ πανουργίασ γενέσθαι παντελῆ· εἰ μὴ καὶ τοῖσ κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἐγνωκόσιν οὐκ ἔστιν ἄμεινον ἐπιδεῖν τούτων ἕκαστον ἐκλελοιπὸσ καὶ διεφθαρμένον.

24. Τὴν οὖν Ἀδὰ παραίτησαι, διάνοια, τὴν μαρτυροῦσάν τε τοῖσ φαύλοισ καὶ μαρτυρουμένην ἐν * ταῖσ πρὸσ ἕκαστα αὐτῶν ἐπιβολαῖσ. εἰ δὲ κοινωνὸν αὐτὴν ἀξιώσεισ ἔχειν, μέγιστον ἀποτέξεταί σοι κακόν, τὸν Ἰωβήλ, ὃσ ἑρμηνεύεται μεταλλοιῶν· εἰ γὰρ τῇ μαρτυρίᾳ χαίρεισ ὧν ἂν τύχῃ, στρέφειν καὶ ἀνακυλίειν ἕκαστα βουλήσῃ, τοὺσ παγέντασ ὑπὸ τῆσ φύσεωσ τοῖσ πράγμασιν ὅρουσ μετατιθείσ. σφόδρα δὲ καὶ Μωϋσῆσ ἀχθόμενοσ τοῖσ τοιούτοισ καταρᾶται λέγων· ἐπικατάρατοσ ὁ μετατιθεὶσ ὅρια τοῦ πλησίον. καλεῖ δὲ πλησίον καὶ ἐγγὺσ τἀγαθόν· οὐ γὰρ ἀναπτῆναι, φησίν, εἰσ οὐρανὸν οὐδὲ πέραν θαλάσ-

---

2 ἐξ αὐτῶν in codice est, non ἐξ αὐτοῦ. Cf. Gen. 11, 6.

4 τὸ ἀδικεῖν: codex τἀδικεῖν. At quum τὸ ἀκολασταίνειν sequatur neque similis contractio in verbis ex usu Philonis videatur, τὸ ἀδικεῖν restituimus.

11 διάνοια codex, non ὦ διάνοια

12 καὶ μαρτυρουμένην: supplevimus καὶ, quod praegressum μαρτυροῦσάν τε poscere sibi videbatur. Ibidem αὐτῶν ἐπιβολαῖσ cum Mang. pro αὐτοῦ ἐπιβουλαῖσ correximus.

12 *Mang. 241.

14 cf. Gen. 4, 20.

16 σφόδρα δὲ: ita codex. Edd. δὲ omiserant.

17 cf. Deuteron. 27, 17.

19 τἀγαθόν: ita codex, non τὸ ἀγαθόν. Ibidem ἀναπτῆναι scripsimus pro ἂν ἀπεῖναι. Recte enim Mang. (ut ἂν ἀναπτῆναι commendaret) contulit de Nomin. mutat. pag. 614. (ed. Mang.) ubi est: φησίν· οὐκ εἰσ οὐρανὸν ἀνα-

σησ ἀφικέσθαι δεῖ κατὰ ζήτησιν τοῦ καλοῦ, ἐγγὺσ γὰρ καὶ πλησίον ἵστασθαι ἑκάστῳ. καὶ τριχῇ γε αὐτὸ διαιρεῖ, φυσικώτατα· ἐν γὰρ τῷ στόματί σου, φησίν, ἐστὶ καὶ ἐν τῇ καρδίᾳ καὶ ἐν ταῖσ χερσί, τοῦτο δὴ ἐν λόγοισ, ἐν βουλαῖσ, ἐν πράξεσι. μέρη γὰρ τοῦ ἀγαθοῦ ταῦτα, ἐξ ὧν πέφυκε πήγνυσθαι, ὡσεί γε ἡ ἑνὸσ ἔνδεια οὐκ ἀτελὲσ μόνον ἀπεργάζεται τὸ πᾶν, ἀλλὰ καὶ συνόλωσ ἀναιρεῖ. τί γὰρ ὄφελοσ λέγειν μὲν τὰ βέλτιστα, διανοεῖσθαι δὲ καὶ πράττειν τὰ αἴσχιστα; σοφιστῶν οὗτοσ ὁ τρόποσ· τοὺσ γὰρ περὶ φρονήσεωσ καὶ καρτερίασ ἀπομηκύνοντεσ λόγουσ τὰ ὦτα καὶ τῶν σφόδρα διψώντων ἀκοῆσ ἀποκναίουσιν, ἐν δὲ ταῖσ βουλαῖσ καὶ ταῖσ κατὰ τὸν βίον πράξεσιν εὑρίσκονται διαμαρτάνοντεσ. τί δ' ὄφελοσ, ἃ μὲν χρὴ διανοεῖσθαι, ἔργοισ δὲ ἀτόποισ καὶ λόγοισ χρῆσθαι, διὰ μὲν τῶν λόγων τοὺσ ἀκούοντασ, διὰ δὲ τῶν ἔργων τοὺσ ὑπομένοντασ ζημιοῦντασ; πράττειν γε μὴν τἄριστα οὐ σὺν διανοίᾳ καὶ λόγῳ πάλιν ὑπαίτιον· τὸ γὰρ ἄνευ τούτων τῆσ ἀκουσίου μερίδοσ ὂν οὐδαμῇ οὐδαμῶσ ἐπαινετόν. εἰ δέ τινι ἐξεγένετο καθάπερ λύρασ ἁρμόσασθαι τοὺσ τοῦ ἀγαθοῦ πάντασ ἤχουσ καὶ συνῳδὸν ἀποφῆναι λόγον μὲν διανοίᾳ, διάνοιαν δὲ ἔργῳ, τέλειοσ καὶ πρὸσ ἀλήθειαν εὐάρμοστοσ ὁ τοιοῦτοσ ἂν νομίζοιτο. ὥσθ'

πτῆναι δεῖ οὐδ' ἄχρι περάτων γῆσ καὶ θαλάττησ ἐλθεῖν ἐπὶ τὴν σύλληψιν αὐτοῦ, ἀλλ' ἐστὶν ἐγγὺσ καὶ σφόδρα ἐγγύσ. Ibidem codex θαλάσσησ, non θαλάττησ habet. Praeterea cf. Deuteron. 30, 12 sqq.

2 τριχῇ γε αὐτὸ: codex τριχῇ ἑαυτῷ (ex ω corr. videtur ο). Mangey, cui τριχὲν αὐτῷ relatum erat, τριχῇ αὐτὸ scribi voluit.

4 τοῦτο δὴ codex, non τοῦτο δὲ

5 πήγνυσθαι: Mang. proposuit γίγνεσθαι. Ibidem ὡσεί γε codex, non ὡσ εἰ δὲ, quorum loco Mang. ὡσ ἤδη reponi voluit. Fortasse vero corrigendum est ὡσ ἥ γε ἑνὸσ ἔνδεια, vel potius ὥστε γε ἡ ἑνὸσ ἔνδεια.

6 τὸ πᾶν et ἀναιρεῖ: utrumque codex et Mang. coniectura pro τόπον et ἀνειρεῖ.

12 διὰ μὲν τῶν λόγων τοὺσ ἀκούοντασ: haec in edd. per incuriam omissa erant.

13 γε μὴν: ita codex, non δὲ μὲν, ut apud Mang. etc. legitur.

14 λόγῳ: ita codex, non λόγων (Mang. „scribe λόγῳ vel λόγοισ")

16 λύρασ adstipulante Mangeio pro λύραν scripsimus.

18 ὥσθ': codex ὥστ'

ὁ μετατιθεὶσ ὅρουσ τοῦ καλοῦ δικαίωσ ἐπάρατόσ ἐστί τε καὶ λέγεται.

25. Τοὺσ δ' ὅρουσ τούτουσ οὐχ ἡ καθ' ἡμᾶσ γένεσισ ἔστησεν, ἀλλ' οἱ πρὸ ἡμῶν καὶ παντὸσ τοῦ γεώδουσ πρεσβύτεροι λόγοι καὶ θεῖοι. καθ' ἃ καὶ ὁ νόμοσ δεδήλωκεν, ἐπισκήπτων ἡμῶν ἑκάστῳ μὴ κιβδηλεύειν τὸ ἀρετῆσ νόμισμα, ἐν τούτοισ· οὐ μετακινήσεισ ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πατέρεσ σου, καὶ ἐν ἑτέροισ· ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺσ πρεσβυτέρουσ σου καὶ ἐροῦσί σοι· ὅτε διεμέριζεν ὁ ὕψιστοσ ἔθνη, ὡσ διέσπειρεν υἱοὺσ Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγένετο μερὶσ κυρίου λαὸσ αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίασ αὐτοῦ Ἰσραήλ. *ἆρ' οὖν ἐὰν πύθωμαι τοῦ γεννήσαντοσ καὶ θρέψαντόσ με πατρόσ, ἢ τῶν ἐκείνου μὲν ἡλικιωτῶν ἐμοῦ δὲ πρεσβυτέρων, εἰ διένειμεν ἔθνη ὁ θεὸσ ἢ ἔσπειρεν ἢ ᾤκισεν, ἀποκρινοῦνταί μοι παγίωσ, ὥσπερ τῷ μερισμῷ παρηκολουθηκότεσ ἑκάστῳ; οὐ μὲν οὖν, ἀλλὰ φήσουσιν ὅτι καὶ ἡμεῖσ ἐφ' ἡλικίασ παρὰ τῶν γονέων καὶ ἔτι ἀρχαιοτέρων φιλοπευστήσαντεσ οὐδὲν σαφὲσ ἀνεμάθομεν· οὐδὲν γὰρ εἶχον ὅ τι διδάξουσιν ἡμᾶσ, καὶ αὐτοὶ πάλιν ἄλλων ἀξιώσαντεσ γενέσθαι ἐπιστημόνων ἀνεπιστήμονεσ γνώριμοι.

---

7 cf. Deuteron. 19, 14.

8 τοῦ πλησίον (ut dici solet): codex τῶν πλησίον

12 cf. Deuteron. 32, 7 sqq.

13 *Mang. 242.

14 εἰ διένειμεν: pro εἰ codex ἤ, quod ab usu Philonis alienum videtur. Ibidem ἔθνη et ᾤκισεν cum Mang. scripsimus, sed codex ἐθνῶν (sic potius quam ἔθνουσ scriptum est) et ᾤκησεν. Cf. tabulam.

15 μερισμῷ: ita codex et Mang. coniectura pro κερισμῷ

18 εἶχον ὅ τι: ita codex, non εἶχον οὔτι (Mang. „melius ὅτι")

19 ἀνεπιστήμονεσ: ita codex (vide tabulam) et Mang. coniectura pro ἀνεπιστήμονι. Item v. 20 γνώριμοι ex codice sumpsimus. (Mang. errore operarum ut videtur) γνώρισμοι (hoc accentu); qui vero secuti sunt γνωρισμοί ediderunt.

26. Μήποτ' οὖν πατέρα μὲν τῆσ ψυχῆσ ἡμῶν τὸν ὀρθὸν λόγον καλεῖ, πρεσβυτέρουσ δὲ τοὺσ ἑταίρουσ αὐτοῦ καὶ φίλουσ. οὗτοι τῆσ ἀρετῆσ τοὺσ ὅρουσ ἐπήξαντο πρῶτοι, πρὸσ οὓσ ἄξιον φοιτῆσαι μαθήσεωσ καὶ διδασκαλίασ ἕνεκα τῶν ἀναγκαίων. τὰ δ' ἀναγκαῖα ταῦτα. ὁπότε ὁ θεὸσ διένεμε καὶ διετείχιζε τὰ τῆσ ψυχῆσ ἔθνη, τὰ ὁμόφωνα τῶν ἀλλογλώττων διιστάσ, καὶ διοικίζων τοὺσ γῆσ παῖδασ ἔσπειρε καὶ ἐξετόξευσεν ἀφ' ἑαυτοῦ οὓσ Ἀδὰμ ὠνόμασεν υἱούσ, τότε τῶν ἀρετῆσ ἐκγόνων τοὺσ ὅρουσ ἔστησεν ἰσαρίθμουσ ἀγγέλοισ· ὅσοι γὰρ θεοῦ λόγοι, τοσαῦτα ἀρετῆσ ἔθνη τε καὶ εἴδη. τίνεσ αἱ τῶν ἀγγέλων αὐτοῦ λήξεισ καὶ τίσ ἡ τοῦ παντάρχου καὶ ἡγεμόνοσ ἀποκεκληρωμένη μοῖρα; τῶν μὲν οὖν ὑπηρετῶν αἱ ἐν εἴδει ἀρεταί, τοῦ δὲ ἡγεμόνοσ τὸ ἐπίλεκτον γένοσ Ἰσραήλ. ὁ γὰρ ὁρῶν τὸν θεὸν ὑπὸ ἐκπρεπεστάτου κάλλουσ ἀγόμενοσ τῷ ὁρωμένῳ προσκεκλήρωταί τε καὶ μεμέρισται. πῶσ οὖν οὐκ ἐπιπληκτέοσ Ἰωβήλ, ὃσ ἑλλάδι γλώττῃ μεταλλοιῶν καλεῖται τὰσ φύσεισ τῶν πραγμάτων ἢ μεταποιῶν; τὰ γὰρ φρονήσεωσ καὶ καρτερίασ καὶ δικαιοσύνησ καὶ τῆσ ἄλλησ ἀρετῆσ κάλλη θεοειδέστατα τύποισ ἐναντίοισ ἀφροσύνησ καὶ ἀκρασίασ, ἀδικίασ, ἁπάσησ κακίασ μετεχάραττεν, ἀφανίζων τὰ ἐνσημανθέντα πρότερον.

27. Αἰεὶ γὰρ ἐπιτεθειμέναι δευτέραι σφραγῖδεσ τοὺσ τῶν προτέρων τύπουσ διαφθείρουσιν. ὁ δέ γε νόμοσ τοσοῦτον δεῖ κακὰ ἀγαθῶν ἐπιτρέπειν ἀντικαταλλάττεσθαι, ὥστ' οὐδὲ καλὰ πονηρῶν ἐᾷ, πονηρὰ οὐ τὰ φαῦλα παραλαμβάνων, ἐπεὶ τοῦτό γε εὔηθεσ μὴ προΐεσθαι τὰ

2 ἑταίρουσ αὐτοῦ cum Mang. correximus pro ἑταίρουσ αὐτῶν

6 καὶ διοικίζων: in cod. additum est τε, quod abundat. ἔσπειρε: Mang. διέσπειρεν maluit.

8 ἐκγόνων codex, non ut edd. ἐγγόνων

14 μεταλλοιῶν cum Mang. pro μεταποιῶν scripsimus.

18 πρότερον: ita scriptum est, non πρότερα

20 αἰεὶ codex, non ἀεὶ

21 ὁ δέ γε νόμοσ τοσοῦτον δεῖ κακὰ ἀγαθῶν ἐπιτρέπειν: hunc in modum scribendum esse coniecimus pro ὁ δὲ γενόμενοσ τοσούτων δεῖν κακὰ ἀγαθῶν ἐπιτρέπει. Mangey „omnino scribendum" duxit ὁ δὲ λεγόμενοσ τοσούτου δέον.

23 παραλαμβάνων, quod in codice scriptum est, non mutavimus. Mang.

κακὰ ὑπὲρ κτήσεωσ τῶν *ἀμεινόνων, ἀλλὰ τὰ καματηρὰ καὶ ἐπίπονα, ἅπερ Ἀττικοὶ τὴν πρώτην ὀξυτονοῦντεσ συλλαβὴν καλοῦσι πόνηρα. ἔστι δὲ τὸ διάταγμα τοιοῦτο· πᾶν ὃ ἐὰν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον τῷ κυρίῳ. οὐκ ἀλλάξεισ καλὸν πονηρῷ· ἐὰν δ' ἀλλάξῃσ, αὐτό τε καὶ τὸ ἄλλαγμα ἔσται ἅγια. καίτοι πῶσ τό γε πονηρὸν γένοιτ' ἂν ἅγιον; ἀλλ', ὅπερ ἔφην, τὸ ἐπίπονον ἀλλ' οὐ φαῦλον παρείληπται, ὥστε τοιοῦτον εἶναι τὸ δηλούμενον· τέλειον μὲν ἀγαθόν ἐστι τὸ καλόν, ἀτελὲσ δὲ ὠφέλιμον πόνοσ. ἐὰν οὖν τὸ παντελὲσ κτήσῃ, μηκέτι ζήτει τὸ ἐνδέον· εἰ δὲ προσυπερβάλλων ἐθελήσεισ ἔτι πονεῖν, ἴσθ' ὅτι δόξεισ μὲν ἓν ἐνὶ καταλλάττειν, κτήσῃ δὲ πρὸσ ἀλήθειαν ἀμφότερα· ἑκάτερον γὰρ εἰ καὶ ἰσότιμον, ἀλλ' οὐ τὸ πάντωσ ἅγιόν ἐστιν.

28. Ἅγιον δὲ πρᾶγμα δοκιμάζεται διὰ τριῶν μαρτύρων, ἀριθμοῦ μέσου, παιδείασ, ἀριθμοῦ τελείου. διὸ λέγεται· πᾶν ὃ ἐὰν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον. τὸ μὲν γὰρ ἀπαξιωθὲν ἀριθμοῦ βέβηλον, οὐχ ἅγιον, τὸ δὲ καταριθμηθέν, ἅτε ἐγκεκριμένον ἤδη, δόκιμον. τὸν γοῦν ὑπὸ Ἰωσὴφ ἐν Αἰγύπτῳ συναχθέντα σῖτόν φησιν ὁ νόμοσ μὴ δυνηθῆναι ἀριθμηθῆναι, καὶ ἐπιφέρει· οὐ γὰρ ἦν

---

proposuit παραλάμβανε. Ibidem codex τοῦτό γε, quod etiam Mangeio relatum videtur, apud quem τοῦτό δε legitur, quod in edd. Richt. et Tauchn. in τοῦτο δὴ corruptum est. Rursus cum Mang. προϊεσθαι dedimus, cuius loco codex προσίεσθαι habet.

1 *Mang. 243.

2 ἅπερ Ἀττικοὶ etc. utrum ipse Philo scripserit an scholiasta adnotaverit quaeri potest. Maluimus tamen Philoni vindicare. Ceterum et Arcadium et Ammonium similiter de accentu vocis πονηροσ commentatos esse in Steph. Thes. sub μοχθηρὸσ notatum est; Philonis vero locus editores videtur fugisse.

3 cf. Lev. 27, 32 sq.

8 πόνοσ: ita codex, sed ὁ πόνοσ praestare videtur.

10 δόξεισ μὲν ἓν ἐνὶ: ita cum Mang. scripsimus pro eis quae vitiose codex praebet δόξῃσ μὲν ἐνὶ ἔνατι

17 οὐχ ἅγιον: codex οὐκ ἅγιον. Idem καταριθμηθέν, cuius loco Mangeio traditum erat κατ' ἀριθμόν.

19 cf. Gen. 41, 49.

ἀριθμόσ, ἐπειδὴ τὰ τοῦ σώματοσ καὶ τῶν Αἰγυπτίων παθῶν θρεπτικὰ οὐκ ἄξια συνόλωσ ἀριθμεῖσθαι. ἡ δὲ ῥάβδοσ παιδείασ σύμβολον· ἄνευ γὰρ τοῦ δυσωπηθῆναι καὶ περὶ ἐνίων ἐπιπληχθῆναι νουθεσίαν ἐνδέξασθαι καὶ σωφρονισμὸν ἀμήχανον. δεκὰσ δὲ τῆσ κατὰ προκοπὴν τελειώσεωσ πίστισ, ἀφ' ἧσ ὅσιον ἀπάρχεσθαι τῷ τέξαντι, τῷ παιδεύσαντι, τῷ τὰ ἐλπισθέντα τελεσφορήσαντι.

29. Ταῦτα ἀποχρώντωσ λελέχθω περὶ τοῦ μεταλλοιοῦντοσ καὶ τὸ ἀρχαῖον νόμισμα κιβδηλεύοντοσ, ὃν καὶ πατέρα ὀνομάζει κατοικούντων ἐν σκηναῖσ κτηνοτρόφων. κτήνη μὲν οὖν εἰσὶν αἱ ἄλογοι αἰσθήσεισ, κτηνοτρόφοι δ' οἱ φιλήδονοι καὶ φιλοπαθεῖσ τροφὰσ παρέχοντεσ αὐταῖσ τὰ ἐκτὸσ αἰσθητά, μακρὰν διεστηκότεσ ποιμένων. οἱ μὲν γὰρ ἀρχόντων τρόπον τὰ πλημμελῶσ ζῶντα τῶν θρεμμάτων κολάζουσιν, οἱ δὲ ἑστιατόρων τροφὰσ ἀφθόνουσ * παρασκευάζοντεσ ἄδειαν ἁμαρτημάτων παρέχουσιν· ἀνάγκη γὰρ εὐθὺσ τὴν ἀπληστίασ καὶ κόρου θυγατέρα γεννᾶσθαι ὕβριν. πατὴρ οὖν ἐστὶν εἰκότωσ ἅπαντα μεταχαράττων καὶ μεταποιῶν τὰ καλὰ τῶν τὸ αἰσθητὸν καὶ ἄψυχον ἅπαν ἐζηλωκότων· εἰ γὰρ τὰσ ἀσωμάτουσ καὶ νοητὰσ φύσεισ μετεδίωκε, τοὺσ ὁρισθέντασ ὑπὸ τῶν πρεσβυτέρων ὅρουσ ἐφύλαττεν ἄν, οὓσ ὑπὲρ ἀρετῆσ ὥρισαν, ἕκαστον αὐτῆσ εἶδοσ οἰκείῳ τύπῳ χαράξαντεσ.

---

3 ἐπιπληχθῆναι codex et Mang. coniectura pro ἐπικληθῆναι.

5 τέξαντι cum Mang. scripsimus pro τάξαντι.

8 ἀποχρώντωσ: codex ἀποχρόντωσ

12 ποιμένων cum Mang. dedimus pro ποιμνίων. τὰ πλημμελῶσ vero v. 13 ipse codex, non τὸν πλημμελῶσ.

14 *Mang. 244.

15 ἀπληστίασ: ita pro ἀπληστίαν scribendum videbatur.

17 ἄψυχον: ita cum Mang. scripsimus pro ἀψύχων, item v. 19 ὑπὸ τῶν pro ὑπὲρ τῶν. εἰ γὰρ vero v. 18 ipse codex, non αἱ γὰρ

18 καὶ νοητὰσ scribendum duximus. Codex καὶ om.

20 cf. Deuteron. 27, 2.

30. Τοῦ δ' Ἰωβὴλ ἀδελφὸν εἶναί φησι τὸν Ἰωβάλ. ἑρμηνεύεται δὲ καὶ οὗτοσ μετακλίνων, διὰ συμβόλου ὁ κατὰ προφορὰν λόγοσ· φύσει γὰρ οὗτοσ διανοίασ ἀδελφόσ ἐστι. τὸν δὲ τοῦ μεταποιοῦντοσ νοῦ τὰ πράγματα λόγον μετακλίνοντα σφόδρα δεόντωσ ὠνόμασε· συμβαίνει γὰρ τρόπον τινὰ καὶ ἐπαμφοτερίζειν καθάπερ ἐπὶ πλάστιγγοσ ἀντιρρέπον ἢ ὥσπερ θαλαττεῦον σκάφοσ ὑπὸ πολλοῦ κλύδωνοσ πρὸσ ἑκάτερον τοῖχον ἀποκλῖνον· βέβαιον γὰρ ἢ σταθηρὸν οὐδὲν ὁ ἄφρων λέγειν ἔμαθε. Μωϋσῆσ δὲ οὔτ' εἰσ δεξιὰ οὔτ' εἰσ ἀριστερὰ οὐδ' ὅλωσ εἰσ μέρη τοῦ γηίνου Ἐδὼμ ἀποκλίνειν οἴεται δεῖν, τῇ δὲ μέσῃ ὁδῷ παρέρχεσθαι, ἣν κυριώτατα καλεῖ βασιλικήν. ἐπειδὴ γὰρ πρῶτοσ καὶ μόνοσ τῶν ὅλων βασιλεὺσ ὁ θεόσ ἐστι, καὶ ἡ πρὸσ αὐτὸν ἄγουσα ὁδόσ, ἅτε βασιλέωσ οὖσα, εἰκότωσ ὠνόμασται βασιλική. ταύτην δ' ἡγοῦ φιλοσοφίαν, οὐχ ἣν μέτεισιν ὁ νῦν ἀνθρώπων σοφιστικὸσ ὅμιλοσ· λόγων γὰρ οὗτοι τέχνασ μελετήσαντεσ κατὰ τῆσ ἀληθείασ τὴν πανουργίαν σοφίαν ἐκάλεσαν, ἔργῳ μοχθηρῷ θεῖον ἐπιφημίσαντεσ ὄνομα· ἀλλ' ἣν ὁ ἀρχαῖοσ ἀσκητῶν θίασοσ διήθλει, τὰσ τιθασσοὺσ τῆσ ἡδονῆσ γοητείασ ἀποστρεφόμενοσ, ἀστείῳ καὶ αὐστηρῷ χρώμενοσ τῇ τοῦ καλοῦ μελέτῃ. τὴν βασιλικὴν ταύτην ὁδόν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμοσ καλεῖ θεοῦ ῥῆμα καὶ λόγον. γέγραπται γάρ· οὐκ ἐκκλινεῖσ ἀπὸ τοῦ ῥήματοσ οὗ ἐγὼ ἐντέλλομαί σοι σήμερον δεξιὰ οὐδὲ ἀριστερά. ὥστε ἐμφανῶσ ἐπιδεδεῖχθαι ὅτι

---

1 τοῦ δ' codex, non τοῦ δὲ. Item φησὶ, non φασὶ. Praeterea cf. Gen. 4, 21.

3 φύσει codex, non φύσισ. Item v. 4 σφόδρα, non σφοδρῶσ

5 ἐπαμφοτερίζειν: sic pro ἐπαμφοτερίζει correximus.

7 ἀποκλῖνον codex, non ἀποκλίνει. Item Ἐδώμ, non Ἔδων

10 παρέρχεσθαι cum Mang. scripsimus pro περιέρχεσθαι, item ex usu Philonis κυριώτατα pro κυριώτατον. Cf. ad 127, 8.

11 cf. Num. 20, 17.

12 ἄγουσα ex codice protulimus. Edd. male omiserant.

16 ἀλλ' ἣν: sic codex (et Mang. coniectura), non ἀλλ' οὖν. Ibidem τιθασσοὺσ: ita codex. Mangey πιθανοὺσ, quod praeferri potuerit, pro lectione codicis habuit.

19 γνήσιον: ut solet Philo, cf. ed. Mang. I, 217, 20. 490, 20.

20 ἐκκλινεῖσ: ita cum Mang. pro ἐκκλίνησ scripsimus.

ταὐτόν ἐστι τῇ βασιλικῇ ὁδῷ τὸ θεοῦ ῥῆμα, εἴγε προτρέπει μήτ' ἀπὸ τῆσ βασιλικῆσ ὁδοῦ μήτ' ἀπὸ τοῦ ῥήματοσ, ὡσ συνωνύμων ὄντων, ἀποκλίνοντασ ὀρθῇ διανοίᾳ τὴν ἐπ' εὐθεῖαν ἄγουσαν ἀτραπὸν μέσην τε καὶ λεωφόρον βαδίζειν.

31. * Ὁ δὲ Ἰωβὰλ οὗτοσ, φησίν, ἐστὶ πατὴρ ὁ καταδείξασ ψαλτήριον καὶ κιθάραν. πατέρα μουσικῆσ καὶ τῶν κατὰ μουσικὴν πάντων ὀργάνων τὸν γεγωνὸν λόγον προσφυέστατα καλεῖ. τὸ γὰρ φωνητήριον ὄργανον ζώοισ ἡ φύσισ πρῶτον καὶ τελειότατον ἐργασαμένη πάσασ αὐτῷ τὰσ ἁρμονίασ καὶ τὰ γένη τῶν μελῳδιῶν εὐθὺσ ἐχαρίζετο, ἵν' ᾖ τοῖσ ἐκ τέχνησ μέλλουσι δημιουργεῖσθαι προειργασμένον παράδειγμα. καὶ καθάπερ γὰρ τὸ οὖσ ἡμῶν κύκλουσ ἐν κύκλοισ, ἐλάττουσ ἐν μείζοσι, γράφουσα σφαιρικὸν ἐτόρνευε τοῦ τὴν προσιοῦσαν φωνὴν μὴ χεομένην ἔξω σκεδάννυσθαι, εἴσω δ' ὑπὸ τὸν κύκλον συναγομένην καὶ σφιγγομένην οἷα διαχεομένησ τῆσ ἀκοῆσ εἰσ τὰσ τοῦ ἡγεμονικοῦ δεξαμενὰσ ἐπαντλεῖσθαι· καὶ τοῦτ' εὐθὺσ ἦν παράδειγμα θεάτρων τῶν κατὰ πόλεισ εὐδαίμονασ, πρὸσ γὰρ τὸ ὤτων σχῆμα ἄκρωσ ἡ θεάτρων κατασκευὴ μεμίμηται· οὕτωσ καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἡ τὰ ζῷα φύσισ διαπλάσασα, ὥσπερ μουσικὸν κανόνα τείνασα, τὰ ἐναρμόνια καὶ χρωματιστικὰ καὶ διατονικὰ γένη συνυφαίνουσα, κατὰ τὰσ τῶν συνημμένων καὶ διεζευγμένων μελῳδιῶν παμπληθεῖσ ποικιλίασ παντὸσ ὀργάνου μουσικοῦ παράδειγμα ἱδρύετο.

---

2 συνωνύμων codex (et Mang. coniecit), non συνομένων

6 *Mang. 245. Praeterea cf. Gen. 4, 20 sq.

8 γεγωνὸν codex, non γεγονὸν

9 ζώοισ (Mang. „forte reponendum"): codex non χωρὶσ, sed ζωρὶσ habet, ο et ρ confusis.

14 χεομένην cum Mang. pro χεομένου scripsimus. Item v. 16 γὰρ post πρὸσ addidimus.

18 μεμίμηται (Mang. „forte") codex, non μερίμνεται

19 φύσισ (etiam Mang.): codex φωνῇ. Sequitur in codice διπλάσασα vitiose pro διαπλάσασα.

20 διατονικὰ codex et Mangeii coniectura, cui διὰ — καὶ relatum erat.

32. Ἴσωσ γοῦν αὐλοὶ καὶ λύραι καὶ τὰ παραπλήσια μελῳδίασ τῆσ ἀηδόνων ἢ κύκνων μουσικῆσ τοσοῦτον ἀπολείπονται, ὅσον ἀπεικόνισμα καὶ μίμημα ἀρχετύπου παραδείγματοσ, φθαρτὸν εἶδοσ ἀφθάρτου γένουσ. τὴν μὲν γὰρ ἀνθρώπων μουσικὴν οὐδενὶ τῶν ἄλλων συγκρίνειν ἄξιον, ἔχουσαν γέρασ ἐξαίρετον, ᾧ τετίμηται, τὴν ἔναρθρον σαφήνειαν. τὰ μὲν γὰρ ἄλλα τῇ περὶ τὴν φωνὴν κράσει χρώμενα καὶ τῇ ἐπαλλήλῳ τῶν τόνων μεταβολῇ ἀκοὰσ αὐτὸ μόνον ἡδύνει, ὁ δ' ἄνθρωποσ, ὥσπερ πρὸσ τὸ λέγειν, οὕτωσ καὶ πρὸσ τὸ ᾄδειν ἀρθρωθεὶσ ὑπὸ φύσεωσ ἑκάτερον ἀκοήν τε καὶ νοῦν ἐπάγεται, τὴν μὲν τῷ μέλει κηλῶν, τὸν δὲ τοῖσ νοήμασιν ἐπιστρέφων. καθάπερ γὰρ ὄργανον ἀμούσῳ μὲν παραδοθὲν ἀνάρμοστον, μουσικῷ δὲ κατὰ τὴν ἐν αὐτῷ τέχνην εὐάρμοστον γίνεται, τὸν αὐτὸν τρόπον καὶ ὁ λόγοσ ὑπὸ μὲν φαύλου νοῦ κινούμενοσ ἀνάρμοστοσ, ὑπὸ δὲ σπουδαίου πάνυ εὐμελὴσ εὑρίσκεται. λύρα γε μὴν ἢ εἴ τι τῶν ὁμοίων, εἰ μὴ πληχθείη πρόσ τινοσ, ἠρεμεῖ· λόγοσ τε αὖ *μὴ πληχθεὶσ ὑφ' ἡγεμονικοῦ κατὰ τἀναγκαῖον ἡσυχίαν ἄγει. καὶ μὴν ὥσπερ ὄργανα κατὰ τὰσ τοῦ μέλουσ ἀπείρουσ ὅσασ κράσεισ μεθαρμόττεται, οὕτωσ καὶ ὁ λόγοσ συνῳδόσ ἐστι καὶ ἑρμηνεὺσ πραγμάτων γινόμενοσ ἀμυθήτουσ λαμβάνει μετα-

---

1 ἴσωσ: codex ὅσωσ. Mangey: „scribe ὅσα vel forte ἴσωσ, quod malim". Ibidem μελῳδίασ pro μελῳδοῦσιν scripsimus. Mangey: „forte reponendum μελῳδίασ ὄργανα".

3 φθαρτὸν εἶδοσ ἀφθάρτου γένουσ: ita cum Mang. codicis scripturam ἄφθαρτον εἶδοσ ἀφθάρτου γένοσ correximus.

5 ᾧ τετίμηται cum Mang. dedimus pro ὡσ τετίμηται, quod in codice est.

6 σαφήνειαν: ita codex, non σαφηνίαν. Ibidem κράσει et v. 7 ἐπαλλήλῳ cum Mang. scripsimus pro κλάσει (non κλάσιν) et ἐπ' ἀλλήλοισ

9 φύσεωσ: ita codex per compendium, quod qui in usum Mangeii transscripsit ignorabat. Exscripsit enim φυ–.

10 κηλῶν codex et Mang. coniectura pro κηδῶν

15 *Mang. 246.

15 πληχθεὶσ: codex πλεχθεὶσ. Ibidem τἀναγκαῖον habet, non ἀσκαῖον (Mang. „omnino τὸ ἀναγκαῖον").

18 καὶ ἑρμηνεὺσ cum Mang. scripsimus. Codex καὶ om.

βολάσ. τίσ γὰρ ἂν ὁμοίωσ γονεῦσι καὶ τέκνοισ διαλεχθείη, τῶν μὲν φύσει δοῦλοσ, τῶν δὲ γένει δεσπότησ ὤν; τίσ δ' ἂν ἀδελφοῖσ ἢ ἀνεψιοῖσ ἢ συνόλωσ τοῖσ ἐγγὺσ γένουσ καὶ μακρὰν οὖσιν; τίσ δ' ἂν οἰκείοισ καὶ ἀλλοτρίοισ, ἢ πολίταισ καὶ ξένοισ, οὐ μικρὰσ εἴτε τύχησ ἢ φύσεωσ ἢ ἡλικίασ ἔχουσι διαφοράσ; πρεσβύτῃ γὰρ ἑτέρωσ ὁμιλητέον καὶ νέῳ, καὶ πάλιν ἐνδόξῳ καὶ ταπεινῷ, καὶ πλουσίῳ καὶ πένητι, καὶ ἄρχοντι καὶ ἰδιώτῃ, καὶ θεράποντι καὶ δεσπότῃ, γυναικί τε αὖ καὶ ἀνδρί, καὶ ἀτέχνῳ καὶ τεχνίτῃ. καὶ τί δεῖ τὰσ τῶν προσώπων ἀμυθήτουσ ἰδέασ καταλέγεσθαι, πρὸσ ἃσ ὁ λόγοσ τρεπόμενοσ ἄλλοτε ἀλλοῖα λαμβάνει σχήματα; καὶ γὰρ αἱ τῶν πραγμάτων ἰδιότητεσ τυποῦσιν αὐτὸν κατὰ τοὺσ ἰδίουσ χαρακτῆρασ· μεγάλα γὰρ καὶ μικρά, ἢ πολλὰ καὶ ὀλίγα, ἢ ἰδιωτικὰ καὶ δημόσια, ἢ ἱερὰ καὶ βέβηλα, ἢ ἀρχαῖα καὶ νέα, οὐ τὸν αὐτὸν ἂν ἑρμηνεύσαισ τρόπον, ἀλλὰ τὸν ἑκάστοισ ἐφαρμόζοντα τῷ πλήθει καὶ ἀξιώματι καὶ μεγέθει, τοτὲ μὲν ὑψηλὸν αἴρων ἑαυτόν, τοτὲ δ' ἔμπαλιν συνάγων τε καὶ συστέλλων. παρέχουσι δ' ὥσπερ τὰ πράγματα καὶ τὰ πρόσωπα τῷ λόγῳ μεταβολάσ, οὕτωσ καὶ αἱ τῶν γινομένων αἰτίαι, καὶ οἱ τρόποι καθ' οὓσ γίνεται, προσέτι μέντοι καὶ τὰ ὧν ἄνευ οὐκ ἂν ἅπαντα, χρόνοι καὶ τόποι. παγκάλωσ οὖν ὁ μετακλίνων λόγουσ Ἰουβὰλ πατὴρ

---

1 τέκνοισ (etiam Mang.): codex τέχναισ

2 φύσει ex ipso codice est. Scriptor Mangeii ut supra.

4 εἴτε pro οὐδὲ scripsimus. Mangey ἢ proposuit.

5 ἑτέρωσ, item v. 6 πένητι et v. 8 δεῖ, ut proposuit Mangey, confirmat codex pro ἑτέραισ, πάντι (sic apud Mang.) et δὲ.

9 καταλέγεσθαι: sic pro κατάγεσθαι reponendum videbatur. Ibidem ἄλλοτε ἀλλοῖα (edd. Richt. et Tauchn. ἄλλα): ita codex, non ἄλλοτ' ἀλλοῖα

10sq. αἱ τῶν πραγμάτων usque ad μεγάλα γὰρ: haec omnia praetermissa erant in edd. (Scripsimus tamen καὶ μικρά pro ἢ μικρά.) Mangey certe ἢ μεγάλα καὶ μικρὰ pro ἢ μικρὰ scribi voluit. ἑρμηνεύσαισ vero pro ἑρμηνεύσαι reposuimus. Mang. ἑρμηνεῦσαί ἐστι et ἑρμηνεύσαιο proposuit.

15 μὲν ὑψηλὸν: ita codex. Apud Mang. est: μὲν – ψηλὸν, atque ipse εἰσ ὑψηλὸν coniecit.

16 συστέλλων, ut Mang. coniecit: codex διαστέλλων

18 ὧν ἄνευ οὐκ ἂν rursus cum Mang. scripsimus. Codex ἄνευ om.

εἴρηται ψαλτηρίου καὶ κιθάρασ ἀπὸ μέρουσ τῆσ ὅλησ μουσικῆσ, ὡσ ἐπιδέδεικται.

33. Τὰ μὲν οὖν τῆσ Ἀδᾶσ ἔγγονα καὶ αὐτὴ τίσ ἐστι δεδήλωται· τὴν δ' ἑτέραν γυναῖκα τοῦ Λάμεχ Σέλλαν καὶ ὅσα ἀποκύει θεασώμεθα. Σέλλα τοίνυν ἑρμηνεύεται σκιά, τῶν περὶ σῶμα καὶ ἐκτὸσ ἀγαθῶν, ἃ τῷ ὄντι σκιᾶσ οὐδὲν διαφέρει, σύμβολον. ἢ κάλλοσ οὐχὶ σκιά, ὃ πρὸσ βραχὺν ἀνθῆσαν χρόνον ἀφαυαίνεται, ἰσχὺσ δὲ καὶ εὐτονία σώματοσ, ἃσ ἡ τυχοῦσα νόσοσ ἐξέλυσεν, αἰσθητήρια δὲ καὶ ἡ περὶ ταῦτα ἀκρίβεια, ἣν ῥεῦμα δυσῶδεσ ἐνέφραξεν ἢ γῆρασ ἡ ἀναγκαῖα καὶ κοινὴ πάντων νόσοσ ἐπήρωσεν; ἔτι δ' οὐχὶ πλοῦτοι καὶ δόξαι καὶ ἀρχαὶ καὶ τιμαί, καὶ ὅσα τῶν ἐκτὸσ ἀγαθὰ νενόμισται, * σκιὰ πάντα; χρὴ δὲ τὴν διάνοιαν ὡσ δι' ἀναβαθμῶν ἐπὶ τὴν τοῦ παντὸσ ἐπάγειν ἀρχήν. εἰσ Δελφοὺσ γεγόνασιν ἄνθρωποι τῶν λεγομένων ἐνδόξων, οἳ τοὺσ εὐδαίμονασ βίουσ ἐκεῖσε ἀνατεθείκασι. καθάπερ οὖν ἐξίτηλοι γραφαὶ οὐ χρόνου μήκει μόνον διερρύησαν, ἀλλὰ καὶ καιρῶν ὀξείαισ μεταβολαῖσ ἐκπεπνεύκασιν· εἰσὶ δ' οὓσ οἷα χειμάρρου

---

1 cf. Gen. 4, 21.

4 τῆσ Ἀδᾶσ: ita codex, non ταῖσ αὐδαῖσ. Mang. „repone τῆσ Ἄδδασ." Ibidem αὐτὴ: ita pro αὔτη edidimus.

5 ὅσα: ita codex, non ἃ

7 ἢ κάλλοσ οὐχὶ σκιά: ita codex, non ἢ κάλλοσ οὔτε σκιά. Mang. coniecit: τί κάλλοσ; οὔτι σκιά;

10 ἣν ῥεῦμα ut iam Mang. coniecit: codex ἢ ῥεῦμα (non ῥῶμα). Ibidem ἡ ἀναγκαία pro ἢ ἀναγκαία correximus, quod miro consensu edd. Mang. Richt. Tauchn. tenent, quamvis iam Mang. recte verterit.

11 ἔτι (ut iam Mang.) δ' οὐχὶ: codex ὅτι δ' (non δὲ) οὐχὶ

13 *Mang. 247.

13 ὡσ pro ὅπωσ scripsimus.

15 βίουσ: ita codex. Rectene sic?

16 ante διερρύησαν in codice οὐ legitur, quod cum Mang. delendum duximus.

17 ὀξείαισ: ita codex. Mang. ab eo qui Romae descripserat ἐξ' -ξεσ acceperat. Ipse ἐξαπιναίοισ proposuit.

φορὰ πλημμύροντοσ ἐξαίφνησ ἐπικλύσασα ἠφάνισεν. ἐκ ταύτησ τῆσ σκιᾶσ καὶ τῶν ἀβεβαίων ὀνειράτων ἀποκυεῖται υἱωνόσ, ὃν ὠνόμασε Θόβελ· ἑρμηνεύεται δὲ σύμπασα. τὸ γὰρ οὖν δεόντωσ παρὰ πολλοῖσ ᾀδόμενον ἀγαθὸν σύνθετον πλουθυγείαν κτησάμενοι μικρὰ καὶ μεγάλα καὶ πάνθ' ἁπλῶσ ἀνῆφθαι δοκοῦσιν. εἰ δὲ καὶ παραγένοιτό τισ αὐτεξούσιοσ ἡγεμονία, φυσηθέντεσ καὶ μετεωρισθέντεσ ὑπὸ κούφησ ἐννοίασ, ἐκλαθόμενοι ἑαυτῶν καὶ ὕλησ φθαρτῆσ ἐξ ἧσ γεγόνασιν, μείζονοσ ἢ κατ' ἀνθρωπίνην σύστασιν οἰηθέντεσ φύσεωσ ἐπιλαχεῖν, ταῖσ τιμαῖσ αὐτοὺσ ὑπὸ μεγαλαυχίασ ἀποσεμνύναντεσ ἐξεθείωσαν. ἤδη γοῦν τινὲσ ἀπετόλμησαν τὸν ἀληθῶσ θεὸν φάναι μὴ εἰδέναι, τῆσ περὶ αὐτοὺσ ἀνθρωπότητοσ ἐκλαθόμενοι, διὰ τὴν τῶν περὶ σῶμα καὶ ἐκτὸσ ἀμετρίαν ἀφθόνωσ .... ἕκαστοσ χαρακτηρίζων.

34. Εἶτά φησιν ὅτι οὗτοσ ἦν σφυροκόποσ χαλκεὺσ χαλκοῦ καὶ σιδήρου. τοῦ γὰρ σεσοβημένου περὶ τὰσ ἢ σωματικὰσ ἡδονὰσ ἢ τὰσ

---

1 ἐπικλύσασα: ita codex, non ἐκκλύσασα. Ibidem ἐκ ταύτησ τῆσ σκιᾶσ ex codice hausimus. Mang. acceperat ἐκτὸν τῆσ σκιᾶσ. Coniecit ἐκ τῶν (edd. Richt. et Tauchn. addunt οὖν) τῆσ σκιᾶσ.

2 υἱωνὸσ: ita revera scriptum videtur, non ὑενοὺσ, quod Mang. accepit.

3 Θόβελ cum Mang. correximus pro ἰωβέλ sive (ut Mang. accepit) ἰωβάλ. Ibidem τὸ γὰρ οὖν δεόντωσ: ita legendum esse coniecimus pro τῷ γὰρ ὄντι ὄντοσ. Paullo post vero ᾀδόμενον ἀγαθὸν ex ipso codice hausimus pro ἀγόμενον ἀγαθεῖν. Deinde σύνθετον pro συνετὸν, denique κτησάμενοι pro στησάμενοι scripsimus. Mangeius sic locum restituendum censuit: 'οἱ γὰρ ἀντὶ πάντων παρὰ πολλοῖσ ᾀδομένων ἀγαθῶν συνετῶσ etc.

5 sq. παραγένοιτό τισ αὐτεξούσιοσ ἡγεμονία: ita ipse codex, non ut pessime ad Mangeium scriptum erat παρεγένοντό τισ αὐτεξούσιοσ ἡγεμονίασ. Mang. quidem veram lectionem iam invenerat, nisi quod παραγίνοιτο scripserat.

7 ἐκλαθόμενοι: ita rursus codex, non ἐκπληθόμενοι. Mang. „melius ἐκλαθόμενοι".

9 αὐτοὺσ: in codice est αὐτοὺσ, non ἑαυτοὺσ. Ibidem ἀποσεμνύναντεσ cum Mang. pro αὐτοσεμνύναντεσ scripsimus.

10 ἀπετόλμησαν pro ἐπετόλμησαν substituimus.

12 ἀφθόνωσ: sequuntur litterae ουσ. Plura h. l desiderantur.

15 cf. Gen. 4, 22.

15 ἢ σωματικὰσ ἡδονὰσ: in codice additur ἢ τὰσ ἡδονὰσ

ἐκτὸσ ὕλασ ἡ ψυχὴ καθάπερ ἐπ᾽ ἄκμονοσ σφυρηλατεῖται, κατὰ τὰσ τῶν ἐπιθυμιῶν μακρὰσ καὶ διωλυγίουσ ἐκτάσεισ ἐλαυνομένη. τοὺσ μέν γε φιλοσωμάτουσ ἴδοισ ἂν ἀεὶ καὶ πανταχοῦ λίνα καὶ πάγασ πρὸσ τῶν ὧν ὀρέγονται θήραν τιθέντασ, τοὺσ δ᾽ αὖ φιλαργύρουσ καὶ φιλοδόξουσ τὸν περὶ ταῦτα οἶστρον καὶ ἵμερον ἐπὶ τὰ πέρατα γῆσ καὶ θαλάττησ ἀποστέλλοντασ καὶ ὥσπερ δικτύοισ ταῖσ ἀορίσταισ αὐτῶν ὀρέξεσιν ἐπισπωμένουσ τὰ πανταχόθεν, μέχρι ἂν ὑπὸ βίασ ἡ σφόδρα τάσισ ῥῆξιν λαβοῦσα καὶ τοὺσ ἕλκοντασ ἀντεπισπωμένη πρηνεῖσ καταβάλλῃ. δημιουργοὶ δ᾽ εἰσὶ πάντεσ οὗτοι πολέμου, παρ᾽ ὃ σίδηρον καὶ χαλκὸν ἐργάζεσθαι λέγονται, δι᾽ ὧν οἱ πόλεμοι * συνίστανται. τὰσ μὲν γὰρ μεγίστασ καὶ ἀνδρῶν ἰδίᾳ καὶ πόλεων κοινῇ διαφορὰσ εὕροι τισ ἂν σκοπῶν καὶ πάλαι γεγενημένασ καὶ νῦν ὑπαρχούσασ καὶ ἐσομένασ αὖθισ ἢ εὐμορφίασ γυναικὸσ εἵνεκα ἢ χρημάτων ἢ δόξησ ἢ τιμῆσ ἢ ἀρχῆσ ἢ κτήσεωσ ἢ συνόλωσ ὅσα σώματοσ καὶ τῶν ἐκτόσ ἐστι πλεονεκτήματα, παιδείασ δὲ καὶ ἀρετῆσ χάριν, ἃ τοῦ κρατίστου τῶν ἐν ἡμῖν ἀγαθὰ διανοίασ ἐστίν, οὔτε ξενικὸσ οὔτ᾽ ἐμφύλιοσ πώποτε κατέσχε πόλεμοσ· εἰρηναῖα γὰρ φύσει ταῦτα, ἐφ᾽ ὧν εὐνομία καὶ εὐστάθεια καὶ ὅσα περικαλλέστατα εἴδη τῆσ ψυχῆσ ὀξυδερκε-

---

1 ἐπ᾽ ἄκμονοσ: ita codex, non ut Mang. (per incuriam?) et Richt. ἐπ᾽ ἄκμονασ

2 ἐκτάσεισ cum Mang. pro ἐκστάσεισ scripsimus.

4 θήραν τιθέντασ: ita codex et Mang. coniectura pro θηραννισθέντασ

7 ἐπισπωμένουσ et paullo post ἀντεπισπωμένη cum Mang. scripsimus pro ἐπισπασμένουσ et ἀντεπισπασμένη, quae codex habere videtur. Ibidem ἡ σφόδρα: Mang. quum per incuriam ἢ σφόδρα edidisset, fideliter id qui editionem repetierunt conservavere.

10 * Mang. 248.

12 σκοπῶν: ita codex et Mang. coniectura pro σκόπου

13 sq. ἢ δόξησ usque ad κτήσεωσ (codex κτίσεωσ) omissa erant in Mangeii apographo.

16 οὔτ᾽ ἐμφύλιοσ: ita codex. Mangeii apographum: οὔτ᾽ ἐμφύλωσ (ex errore operarum?), item ed. Richt. Pro κατέσχε Mang. κατέστη („magis ex more Attico") proposuit.

17 ἐφ᾽ ὧν: ita codex, non ὑφ᾽ ὧν. Ibidem in codice est εὐνομία, non ἀνομία.

στάτοισ ὄμμασιν, οὐχὶ τοῖσ σώματοσ ἀμυδροῖσ θεωρεῖται. ταῦτα μὲν γὰρ τὰσ ἐκτὸσ ἐπιφανείασ μόνον ὁρᾷ, ὁ δὲ τῆσ διανοίασ ὀφθαλμὸσ εἴσω προελθὼν καὶ βαθύνασ τὰ ἐν αὐτοῖσ σπλάγχνοισ ἐγκεκρυμμένα κατεῖδε. γίνονται δ' αἱ ταραχαὶ ἢ αἱ στάσεισ πᾶσαι τοῖσ ἀνθρώποισ ἀεὶ σχεδὸν περὶ μὲν οὐδενὸσ ἀλλ' ἢ περί γε τῆσ πρὸσ ἀλήθειαν σκιᾶσ. τὸν γὰρ δημιουργὸν τῶν πολεμιστηρίων ὅπλων χαλκοῦ καὶ σιδήρου Θόβελ υἱὸν Σέλλασ τῆσ σκιᾶσ ὠνόμασεν, οὐ λόγων τέχναισ, ἀλλ' ὀνομάτων ὑπερβάλλοντι κάλλει φιλοσοφῶν. ἔγνω γὰρ ὅτι πᾶσ ἢ ναυτικὸσ ἢ πεζὸσ στρατὸσ τοὺσ μεγίστουσ αἱρεῖται κινδύνουσ ἕνεκα σωματικῶν ἡδονῶν ἢ χάριν περιουσίασ τῶν ἐκτόσ, ὧν οὐδὲν βέβαιον ἢ πάγιον ὑπὸ τοῦ πάντα ἐξελέγχοντοσ αἰῶνοσ μαρτυρεῖται· σκιαγραφίαισ γὰρ ἐπιπολαίοισ ἐξ ἑαυτῶν διαρρεούσαισ ἔοικε.

35. Τοῦ δὲ Θόβελ ἀδελφὴν εἶναί φησι Νοεμάν, ἧσ ἑρμηνεία πιότησ· ἀκολουθεῖ γὰρ τοῖσ εὐπάθειαν σώματοσ καὶ ἃσ εἶπον ὕλασ μεταδιώκουσιν, ὅταν τι ὧν ὀρέγονται λάβωσι, πιαίνεσθαι. τὴν δὲ τοιαύτην πιότητα οὐκ ἰσχὺν ἀλλ' ἀσθένειαν ἔγωγε τίθεμαι· διδάσκει γὰρ ἀφίστασθαι θεοῦ τιμῆσ, ἣ πρώτη καὶ ἀρίστη ψυχῆσ ἐστὶ δύνα-

2 τὰσ ἐκτὸσ pro τὰ ἐκτὸσ scribendum videbatur. Similiter τὴν ἐκτὸσ ἐπιφάνειαν Polybius 6, 23, 3 et alii (Aristot. h. a. 1, 16 πρὸσ τὴν ἔξω ἐπιφάνειαν) dixerunt.

3 προελθών: Mang. „forte προσελθών". Ibidem σπλάγχνοισ: ita cum Mang. pro σπλάγχνα scripsimus.

4 δ' αἱ codex, non δὲ αἱ

5 οὐδενὸσ ἀλλ' ἢ περί γε: codex οὐδενὸσ ἄλλα (hoc accentu, non ἀλλὰ. Mang. quidni ἄλλου?)· περὶ δὲ

10 οὐδὲν βέβαιον (etiam apogr. Mang.): ipse codex οὐδὲ βέβαιον

11 ἐξελέγχοντοσ: ita ipse codex, non ἐξελέγχοντο. Pro αἰῶνοσ vero δϊῶνοσ scriptum est.

12 διαρρεούσαισ: ita cum Mang. emendavimus vitiosam codicis scripturam δαρεούλαισ.

14 Νοεμάν: ita codex. Mang. apographum Νόε ἂν

16 τι: ita pro τινὸσ corrigendum esse duximus.

17 πιότητα: sic codex, non ut Mang. apographum ποιότητα. Ibidem ex codice hausimus τίθεμαι, Mang. apogr. τίθημι.

18 ψυχῆσ: ita codex. Mang. apogr. ψυχὴ

μισ. μάρτυσ δὲ ὁ νόμοσ ἐν ᾠδῇ μείζονι λέγων οὕτωσ· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτόν, καὶ ἐπελάθετο θεοῦ σωτῆροσ αὐτοῦ. ὄντωσ γὰρ οὐκέτι μέμνηνται τοῦ αἰωνίου, οἷσ πρὸσ καιρὸν ὁ βίοσ ἤνθησε· νομίζουσι γοῦν τὸν καιρὸν θεόν. διὸ καὶ Μωϋσῆσ μαρτυρεῖ προτρέπων πολεμεῖν ταῖσ ἐναντίαισ δόξαισ, λέγει γάρ· ἀφέστηκεν ὁ καιρὸσ ἀπ' αὐτῶν, ὁ δὲ κύριοσ ἐν ἡμῖν. ὥσθ' * οἷσ μὲν ὁ ψυχῆσ βίοσ τετίμηται, λόγοσ θεῖοσ ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, οἷσ δ' ὁ τῶν ἡδονῶν, ἐφήμερον καὶ κατεψευσμένην ἔχουσιν ἀκαιρίαν. οὗτοι μὲν οὖν ὑπὸ διαρρεούσησ πιότητόσ τε καὶ τέρψεωσ ἐπὶ πλέον οἰδήσαντεσ καὶ περιταθέντεσ ἐξερράγησαν· οἱ δὲ τῇ τρεφούσῃ τὰσ φιλαρέτουσ ψυχὰσ σοφίᾳ πιαινόμενοι βέβαιον καὶ ἀκράδαντον ἴσχουσι δύναμιν, ἧσ ὑπόδειγμα τὸ ὁλοκαυτούμενον ἀπὸ παντὸσ ἱερείου στέαρ. λέγει γὰρ Μωϋσῆσ· πᾶν στέαρ τῷ κυρίῳ νόμιμον αἰώνιον, ὡσ τῆσ κατὰ μὲν διάνοιαν πιότητοσ ἀναφερομένησ ἐπὶ θεὸν καὶ οἰκειουμένησ αὐτῷ, διόπερ ἀπαθανατίζεται, τῆσ δὲ κατὰ τὸ σῶμα καὶ τὰ ἐκτὸσ ἀναφερομένησ ἐπὶ τὸν ἀντίθεον καιρόν, δι' ὃν καὶ τάχιστα παρήκμασεν.

---

1 cf. Deuteron. 32, 15.

3 ἐπελάθετο: ita codex, non ut Mang. apogr. ἐπελάθου. Ibidem μέμνηνται: sic pro μέμνηται quod in codice est scribendum erat.

5 ἐναντίαισ: ita scriptum, non ἔναντι, ut Mang. apogr. et edd. habent.

6 cf. Num. 14, 9.

7 *Mang. 249.

8 οἷσ δ' ὁ τῶν: sic codex, non οἷσ δὲ ὁ τῶν

10 περιταθέντεσ: Mang. „forte melius scribitur πρησθέντεσ".

11 σοφίᾳ πιαινόμενοι cum Mang. correximus pro σοφίασ πεπαινόμενοι.

12 δύναμιν cod. et Mang. coniectura pro δύναμισ

13 ἱερείου cum Mang. pro ἱεροῦ, quod codex praebet (non ἱερεῖ), scripsimus.

14 cf. Lev. 3, 16.

15 αὐτῷ (etiam Mang. ita reponi voluit): codex αὐτῶν, sed videtur αὐτῷ correctum esse. Ibidem pro ἀπαθανατίζεται edd. Mang. Richt. Tauchn. vitiose ἀποθανατίζεται habent.

17 παρήκμασεν (Mang. „forte"): ita codex. Apogr. Mang. παρηκένασεν

36. Περὶ μὲν οὖν τῶν Λάμεχ γυναικῶν τε καὶ ἐκγόνων ἱκανῶσ οἶμαι δεδηλῶσθαι· τὴν δ᾽ ὥσπερ παλιγγενεσίαν Ἄβελ τοῦ δολοφονηθέντοσ σκέψωμεν. ἔγνω, φησίν, Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὔαν, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ· ἐξανέστησε γάρ μοι ὁ θεὸσ σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. Σὴθ ἑρμηνεύεται ποτισμόσ. ὥσπερ οὖν τὰ κατὰ γῆν σπέρματα καὶ φυτὰ ποτιζόμενα αὔξεται καὶ βλαστάνει καὶ πρὸσ καρπῶν γενέσεισ εὐτοκεῖ, στερόμενα δὲ ἐπιροῆσ ἀφαυαίνεται, οὕτωσ ἡ ψυχὴ σπερμαίνεται, ὅταν νάματι ποτίμῳ σοφίασ ἄρδηται· βλαστάνει γὰρ καὶ ἐπιδίδωσι πρὸσ τὸ βέλτιον. ποτισμὸσ δὲ ὁ μέν ἐστι ποτίζοντοσ, ὁ δ᾽ αὖ ποτιζομένου. ἢ οὐκ ἂν εἴποι τισ τῶν αἰσθήσεων ἑκάστην ὥσπερ ἀπὸ πηγῆσ τοῦ νοῦ ποτίζεσθαι, τὰσ δυνάμεισ καθάπερ ὀχετοὺσ ἀνευρύνοντόσ τε καὶ τείνοντοσ; οὐδεὶσ γοῦν εὖ φρονῶν εἴποι ἂν ὀφθαλμοὺσ ὁρᾶν, ἀλλὰ νοῦν δι᾽ ὀφθαλμῶν, οὐδ᾽ ὦτα ἀκούειν, ἀλλὰ δι᾽ ὤτων ἐκεῖνον, οὐδὲ μυκτῆρασ ὀσφραίνεσθαι, ἀλλὰ διὰ μυκτήρων τὸ ἡγεμονικόν.

37. Διὸ καὶ ἐν Γενέσει λέγεται· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆσ γῆσ καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆσ γῆσ. ἐπεὶ γὰρ ὅλου τοῦ σώματοσ μέροσ ἐξαίρετον ἔνειμεν ἡ φύσισ τὸ πρόσωπον αἰσθήσεσιν, ἡ ἀνιοῦσ᾽

---

2 τὴν δ᾽ ὥσπερ codex, non τὴν δὲ ὥσπερ

3 cf. Gen. 4, 25.

8 ἐπιροῆσ: rursus codicis scripturam conservavimus. Edd. ἐπιῤῥοῆσ. Pro ἀφαυαίνεται codex ἀφεαίνεται. Ibidem σπερμαίνεται: ita vel ita fere pro καθάπερ (quae particula ab hoc loco aliena) φαίνεται reponendum duximus. Fortasse erit cui κατασπερμαίνεται placeat, licet ea vox nondum sit in Lexicis. Mangey: „Quidni vero reponas καθάπερ σπέρματα ἐπιῤῥαίνεται?"

11 ὁ δ᾽ αὖ: ita scriptum est, non ὁ δὲ αὖ

12 πηγῆσ: apographum Mang. πληγῆσ

13 εὖ φρονῶν pro εὐφρονῶν, quod omnes ediderunt, reposuimus

15 vitiose apud Mang. ὀσφρήνεσθαι legitur.

18 cf. Gen. 2, 6.

20 ἀνιοῦσ᾽ ἀφ᾽: ita codex, non ἀνιοῦσα ἀφ᾽

ἀφ' ἡγεμονικοῦ πηγὴ σχιζομένη πολλαχῇ, καθάπερ τινὰσ ὑδρορόασ ἀναστείλασα μέχρι προσώπου, δι' αὐτῶν τὰσ δυνάμεισ ἐφ' ἕκαστον ἄγει τῶν αἰσθητικῶν ὀργάνων. οὕτωσ μέντοι καὶ ὁ θεοῦ λόγοσ *ποτίζει τὰσ ἀρετάσ· ἀρχὴ γὰρ καὶ πηγὴ καλῶν πράξεων οὗτοσ. δηλοῖ δ' ὁ νομοθέτησ φάσκων, ποταμὸσ δ' ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον, ἐκεῖθεν ἀφορίζεται εἰσ τέσσαρασ ἀρχάσ. γενικαὶ μὲν γάρ εἰσιν ἀρεταὶ τέσσαρεσ, φρόνησισ, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· τούτων δὲ ἡγεμονὶσ ἑκάστη καὶ βασιλίσ ἐστι, καὶ ὁ κτησάμενοσ αὐτὰσ ἄρχων καὶ βασιλεὺσ εὐθέωσ, κἂν μηδεμιᾶσ ὕλησ εὐπορῇ. τὸ γὰρ ἀφορίζεσθαι εἰσ τέσσαρασ ἀρχὰσ οὐ τούτων διάστασιν, ἀλλ' ἀρετῶν ἡγεμονίαν ἐμφαίνει καὶ κράτοσ. αὗται δὲ καθάπερ ἐκ μιᾶσ ῥίζησ ἐκπεφύκασι τοῦ θείου λόγου, ὃν εἰκάζει ποταμῷ διὰ τὴν ἀένναον καὶ συνεχῆ φορὰν ποτίμων λόγων καὶ δογμάτων, οἷσ τὰσ φιλοθέουσ τρέφει καὶ συναύξει ψυχάσ.

38. Ποῖαι δ' αὗται, κατ' ὀλίγον ἐπάγων ἐκδιδάσκει, ποιούμενοσ ἀπὸ τῶν φύσει τὴν ὑφήγησιν τεχνῶν. εἰσάγει γὰρ τὴν Ἄγαρ πληροῦσαν ἀσκὸν ὕδατοσ καὶ τὸ παιδίον ποτίζουσαν. ἔστιν ἡ Ἄγαρ θεραπαινὶσ Σάρρασ, τῆσ τελείασ ἀρετῆσ καινὴ παιδεία· φυσικώτατα.

---

1 ὑδρορόασ (non -ρρ-): ita codex, non ut apogr. Mang. ὑδρύσαι

3 *Mang. 250.

4 οὗτοσ codex, non ut apogr. Mang. οὑτοσί. Item v. 5 δ' ἐκπορεύεται, non δὲ ἐκπορεύεται.

5 cf. Gen. 2, 10.

10 ἀφορίζεσθαι pro ἀφορίζεται scripsimus. Ibidem ἀρχὰσ οὐ τούτων διάστασιν, ἀλλ' ἀρετῶν ἡγεμονίαν: ita ex codice hausimus. Apographum Mang. ἀρχὰσ * * * οὐτ' (sic) ἡ διάστασισ, ἀλλ' ἀρετὴ ἡγεμονίαν, nec Mangey coniectura locum sanare ausus est.

16 δ' αὗται: ita scriptum est, non δὲ αὗται. Ibidem codex ὀλίγον (ut suspicatus est Mang.), non ὀλίγων.

17 cf. Gen. 21, 19 sqq.

19 καινὴ παιδεία: ita de coniectura scripsimus pro καὶ νέα παιδεία. Mang. „scribendum videtur καὶ μέση vel κοσμικὴ potius". Quam in rem confert Clem. Strom. 1, 333, item Ambr. de Abrah. 2, 10. *Sarah virtus vera*

ἐπειδὰν οὖν ἄχρι τοῦ βάθουσ ἐλθοῦσα τῆσ ἐπιστήμησ, ἣν ὀνομάζει φρέαρ, ἀρύσηται ὥσπερ εἰσ ἄγγοσ τὴν ψυχὴν τά τε δόγματα καὶ θεωρήματα, ἃ μέτεισιν, οἷσ τέθραπται, τούτοισ τρέφειν τὸ παιδίον ἀξιοῖ. παιδίον δὲ καλεῖ τὴν ἄρτι διδασκαλίασ ὀρεγομένην ψυχὴν καὶ πρὸσ τῷ μαθεῖν νυνὶ τρόπον τινὰ γεγενημένην, παρ' ὃ καὶ ἀνδρωθεὶσ ὁ παῖσ γίνεται σοφιστήσ, ὃν προσαγορεύει τοξότην· ἐφ' ὃ γὰρ ἂν προθῆται κεφάλαιον ὥσπερ σκοπόν, εὐστόχωσ ἀποδείξεισ ὥσπερ ὀϊστοὺσ ἀφίησι.

39. Ῥεβέκκα δ' οὐκέτι προκοπαῖσ ἀλλὰ τελειότητι ποτίζουσα τὸν μαθητὴν εὑρίσκεται. πῶσ δέ, αὐτὸσ διδάξει ὁ νόμοσ. ἡ γὰρ παρθένοσ, φησίν, ἦν καλὴ τῇ ὄψει σφόδρα, παρθένοσ ἣν ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν καὶ ἀνέβη. προσέδραμε δὲ ὁ παῖσ εἰσ συνάντησιν αὐτῇ καὶ εἶπε· πότισόν με δὴ μικρὸν ὕδωρ ἐκ τῆσ ὑδρίασ σου. ἡ δὲ εἶπε· πίε, κύριε. καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆσ καὶ ἐπότισεν αὐτόν, ἕωσ ἐπαύσατο πίνων,* καὶ εἶπε· καὶ ταῖσ καμήλοισ σου

---

est, vera sapientia, Agar autem est versutia tanquam ancilla perfectioris virtutis. Alia enim sapientia spiritalis, alia sapientia huius mundi. Ibidem φυσικώτατα: ita codex (et Mang. coniectura), apogr. Mang. φυσικωτάτη.

1 βάθουσ pro πάθουσ scripsimus. Mang. βαθείασ proposuit.

4 ἀξιοῖ cum Mang. pro ἄξιον reposuimus.

5 πρὸσ τῷ: ita codex, non πρὸσ τὸ. Ibidem γεγενημένην codex, non γεγεννημένην, ut post Mang. ediderunt.

7 verba ὥσπερ usque ad ἀποδείξεισ in Graecis per incuriam desiderabantur. Quod per incuriam accidisse interpretatione Latina probatur, qua expressa sunt apud Mangeium.

11 ὁ νόμοσ: ita codex et Mang. coniectura, non ὄνομα.

12 σφόδρα: ita codex, non σφοδρῶσ (Mang. „melius σφόδρα“). Ibidem παρθένοσ ἣν ἀνὴρ οὐκ ἔγνω αὐτήν, ut LXX virorum usus fert, ex codice hausimus. Edd. παρθένοσ ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν.

17 αὐτόν: ita codex et Mang., cuius apogr. ferebat αὐτήν.

17 *Mang. 251. Praeterea cf. Gen. 24, 16 sqq.

ὑδρεύσομαι, ἕωσ ἂν πᾶσαι πίωσι. καὶ σπεύσασα ἐξεκένωσε τὴν ὑδρίαν εἰσ τὸ ποτιστήριον, καὶ δραμοῦσα ἐπὶ τὸ φρέαρ ὑδρεύσατο ταῖσ καμήλοισ. τίσ οὐκ ἂν θαυμάσειε τὴν περὶ πάντα ἀκρίβειαν τοῦ νομοθέτου; παρθένον εἶπε τὴν Ῥεβέκκαν, καὶ πάνυ καλὴν παρθένον, ὅτι ἀμιγὴσ καὶ ἄδολοσ καὶ ἀμίαντοσ ἡ ἀρετῆσ φύσισ, καὶ μόνη τῶν ἐν γενέσει καλή τε καὶ ἀγαθή. ἀφ᾽ ἧσ καὶ τὸ στωικὸν ἐβλάστησε δόγμα, το μόνον εἶναι τὸ καλὸν ἀγαθόν.

40. Τῶν τεσσάρων ἀρετῶν αἱ μέν εἰσιν αἰεὶ παρθένοι, αἱ δὲ ἐκ γυναικῶν εἰσ παρθένουσ μετέβαλον, ὥσπερ ἡ Σάρρα· ἐξέλιπε γὰρ γίνεσθαι τὰ γυναικεῖα, ὁπότε ἄρχεται τὸ εὔδαιμον γένοσ κυοφορεῖν, Ἰσαάκ. ἡ δὲ ἀεὶ παρθένοσ ὑπὸ ἀνδρόσ, ἧ φησί, συνόλωσ οὐ γινώσκεται· θνητῶν γὰρ πρὸσ ἀλήθειαν οὐδενὶ τὴν ἀδιάφθορον φύσιν μιαίνειν ἐφεῖται, ἀλλ᾽ οὐδ᾽ ἥτισ ἐστὶν εἰλικρινῶσ εἰδέναι· ἐὰν μέντοι καὶ γνῶναι δυνηθῇ, μισῶν καὶ προβεβλημένοσ οὐ παύεται. διὸ καὶ Λείαν φυσικῶσ εἰσάγει μισουμένην· οὓσ γὰρ τὰ φίλτρα τῶν κατὰ Ῥαχήλ, τὴν αἴσθησιν, ἡδονῶν ἐπάγεται, τούτουσ οὐκ ἀνέχεται ἡ ἐκτὸσ τῶν παθῶν Λεία. διόπερ σκορακιζόμενοι μισοῦσιν αὐτήν· τῇ δὲ ἡ πρὸσ τὸ γεννητὸν ἀλλοτρίωσισ πρὸσ θεὸν οἰκείωσιν εἰργάσατο, παρ᾽ οὗ τὰ φρονήσεωσ παραδεξαμένη σπέρματα ὠδίνει καὶ ἀποτίκτει καλὰσ καὶ ἀξίασ ἐννοίασ τοῦ γεννήσαντοσ πατρόσ. ἐὰν οὖν καὶ σὺ μιμησαμένη Λείαν, ὦ ψυχή, θνητὰ ἀποστραφῇσ, ἐξ ἀνάγκησ ἐπι-

---

1 σπεύσασα: ita scriptum est, non σπεύσατο (? ut Mangey) nec ut edd. Richt. et Tauchn. ἐσπεύσατο.

5 ἡ ἀρετῆσ φύσισ: ita codex. Mang. apogr. ἡ ἀρετῆσ φύσει, Mang. coniecit ἡ ἀρετὴ φύσει.

9 αἱ μὲν: μὲν (Mang. „videtur deesse μὲν") ipsi addidimus. Ibidem αἰεὶ codex, non ἀεὶ

10 cf. Gen. 18, 11.

10 ἡ Σάρρα: apogr. Mang. ἡ praetermiserat.

12 cf. Gen. 24, 16.

15 cf. Gen. 29, 31.

22 ἀποστραφῇσ: corrupte apogr. Mang. ἀποστροφῇσ. Ibidem ἐπιστρέψει retinuimus. Mang. ἐπιστρέψῃ correxit.

στρέψει πρὸσ τὸν ἄφθαρτον, ὃσ ὅλασ ἐπομβρήσει σοι τὰσ τοῦ καλοῦ πηγάσ.

41. Ἡ δὲ Ῥεβέκκα κατέβη, φησίν, ἐπὶ τὴν πηγὴν πλῆσαι τὴν ὑδρείαν, καὶ ἀνέβη. πόθεν γὰρ τὴν φρονήσεωσ διψῶσαν διάνοιαν εἰκόσ ἐστι πληροῦσθαι πλὴν ἀπὸ σοφίασ θεοῦ, τῆσ ἀνελλιποῦσ πηγῆσ, εἰσ ἣν κατιοῦσα ἀναβαίνει κατὰ τὸ συγγενὲσ σπουδαίου μαθητοῦ; τοὺσ γὰρ ἀπ' οἰήσεωσ χαύνου κατελθόντασ ὁ ἀρετῆσ ἐκδεξάμενοσ καὶ ὑπολαβὼν δι' εὐκλείασ εἰσ ὕψοσ αἴρει λόγοσ. οὗ ἕνεκά μοι δοκεῖ καὶ Μωϋσῇ διαλέγεσθαι· βάδιζε, κατάβηθι, καὶ ἀνάβηθι, ὡσ παντὸσ τοῦ τὴν ἴδιον * ταπεινότητα μετροῦντοσ ἐπικυδεστέρου παρὰ τοῖσ ἀληθείασ κριταῖσ γενομένου. παρατετηρημένωσ δὲ σφόδρα· ἡ μὲν γὰρ Ἄγαρ ἀσκὸν πρὸσ τὴν ὑδρείαν, Ῥεβέκκα δὲ ὑδρίαν ἐπιφέρεται, ὅτι τῇ μὲν τῆσ παιδείασ τῆσ ἐγκυκλίου χηρευούσῃ δεῖ καθάπερ τινῶν σωματικῶν τῶν αἰσθήσεων ἀγγείων, ὀφθαλμῶν, ὤτων, πρὸσ τὴν τῶν θεωρημάτων ἀνάληψιν· ἐκ γὰρ τοῦ πολλὰ μὲν ἰδεῖν, πολλῶν δὲ ἐπακοῦσαι περιγίνεται τοῖσ φιλομαθέσιν ἡ ἐξ ἐπιστήμησ ὠφέλεια· τῇ δὲ ἀκράτου σοφίασ πεπληρωμένῃ δερματίνου μὲν ὄγκου παράπαν

---

1 ἐπομβρήσει pro ἔτι ὀμβρήσει substituimus.

4 cf. Gen. 24, 16.

4 πηγὴν πλῆσαι cum Mang. pro γῆν ἀντλῆσαι correximus.

7 κατὰ τὸ συγγενὲσ: codex κατά τι συγγενὲσ. Ibidem σπουδαίου cum Mang. pro σπουδαῖον scripsimus.

9 αἴρει: ita ipse codex; apogr. Mang. *ρει

10 Μωϋσῇ pro Μωϋσῆσ correximus. Mang. „forte Μωσεῖ".

10 cf. Exod. 32, 7.

11 *Mang. 252.

11 ταπεινότητα μετροῦντοσ: ita ipse codex, non ταπεινότατον μεροῦντοσ, ut ineptissime Mangeio relatum erat.

14 τῇ μὲν τῆσ παιδείασ τῆσ ἐγκυκλίου χηρευούσῃ δεῖ καθάπερ τινῶν σωματικῶν: ita scribendum esse coniecimus pro τῇ μὲν τοῖσ παιδεύμασι καὶ ἐγκυκλίουσ χορευούσῃ δεῖ καθάπερ τινῶν ἀσωμάτων. Quem locum Mang. intactum reliquit, nisi quod σωμάτων pro ἀσωμάτων reponendum censuit. Ed. Tauchn. praeterea ἐγκυκλίοισ ἐγχορευούσῃ pro ἐγκυκλίουσ χορ. dedit.

18 ὄγκου: ita codex, non οἴκου. Quam vocem excipit παρὰ τοῦ (apogr.

οὐδενόσ· ἔμαθε γὰρ ἡ ἀσωμάτων ἐρῶσα ὅλον ἀποδύεσθαι λογισμῶν τὸν ἀσκόν, τὸ σῶμα· ὑδρίασ δὲ αὐτὸ μόνον, ἣ σύμβολόν ἐστιν ἀγγείου τὸ πολύχουν ὕδατοσ τρόπον ἡγεμονικὸν κεχωρηκότοσ, ὅπερ εἴτε μήνιγγα εἴτε καρδίαν εἶναι συντέτευχεν, οἱ περὶ ταῦτα δεινοὶ φιλοσοφείτωσαν. ὑδρευσαμένουσ οὖν ἀπὸ σοφίασ, τῆσ θείασ πηγῆσ, τὰσ ἐπιστήμασ ὁ φιλομαθὴσ ἰδὼν ἐπιτρέχει καὶ ὑπαντιάσασ ἱκέτησ γίνεται, ὅπωσ τὴν τοῦ μαθεῖν δίψαν ἀκέσηται. ἡ δὲ τὸ πρεσβύτατον τῶν παιδευμάτων διδαχθεῖσα, τὸ ἀβάσκανον καὶ φιλόδωρον, εὐθὺσ ὀρέγει τὸ σοφίασ νᾶμα καὶ ἐμπιεῖν ἀθρόου παρακαλεῖ, μετὰ τοῦ καὶ κύριον ὀνομάζειν τὸν οἰκέτην. τοῦτο δ' ἐστὶ τὸ δογματικώτατον, ὅτι ὁ σοφὸσ μόνον ἐλεύθερόσ τε καὶ ἄρχων, κἂν μυρίουσ τοῦ σώματοσ ἔχῃ δεσπότασ.

42. Ὀρθότατα μέντοι, φαμένου· πότισόν με μικρὸν ὕδωρ, οὐκ ἀποκρίνεται τὸν ἀκόλουθον τρόπον· ποτιῶ, ἀλλὰ φησί· πίε. τοῦτο μὲν γὰρ ἐπιδεικνυμένησ τὸν θεῖον ἣν πλοῦτον, ὃσ ἅπασι τοῖσ ἀξίοισ καὶ δυναμένοισ χρῆσθαι προκέχυται, ἐκεῖνο δὲ ἐπαγγελλομένησ διδάξειν, οὐδὲν δὲ τῶν ἐξ ἐπαγγέλματοσ οἰκεῖον ἀρετῇ. τεχνικώτατα μέντοι χαρακτηρίζει τὴν τῆσ διδασκούσησ καὶ ὠφελούσησ ὑφήγησιν· σπεύσασα γάρ, φησί, καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆσ, διὰ μὲν τοῦ σπουδάσαι τῆσ πρὸσ τὸ εὐεργετεῖν ἐμφαινομένησ ὀξύτητοσ, ἣ ἀπὸ γνώμησ συνίσταται, ἧσ ὑπερόριοσ ἐκτετόξευται φθόνοσ, διὰ δὲ τοῦ καθελεῖν ἐπὶ τὸν βραχίονα αὐτῆσ τῆσ πρὸσ τὸν μανθάνοντα τοῦ διδάσκοντοσ ἐπικλινοῦσ καὶ προσεχοῦσ οἰκειώσεωσ. εὐήθεισ γὰρ ὅσοι τῶν διδασκάλων μὴ πρὸσ τὴν τῶν γνωρίμων δύναμιν,

Mang. omiserat τοῦ), unde παράπαν effecimus. Mang. „Quidni τὸ παράπαν?" At τὸ, opinor, abesse poterat.

2 ὑδρίασ δὲ αὐτὸ μόνον: haec scriptura prorsus ex Philonis usu videtur esse. Hinc non cum Mang. ὑδρίαν δὲ ἐπιφέρεται reponere placuit.

4 φιλοσοφείτωσαν et ὑδρευσαμένουσ codex, non φιλοσοφείσθωσαν et ὑδρευσομένουσ

18 τεχνικώτατα: sic pro τεχνικώτατον dedimus, quemadmodum constanter Philo. Cf. v. 14. 114, 7. 123, 19. 29, 8. etc.

23 αὐτῆσ τῆσ: τῆσ ipsi addidimus.

ἀλλὰ πρὸσ τὴν ἑαυτῶν ὑπερβάλλουσαν * ἕξιν ἐπιχειροῦσι ποιεῖσθαι τὰσ ὑφηγήσεισ, οὐκ εἰδότεσ ὡσ διδασκαλίασ ἐπίδειξισ μακρῷ διενήνοχεν. ὁ μὲν γὰρ ἐπιδεικνύμενοσ τῇ τῆσ παρούσησ ἕξεωσ εὐφορίᾳ καταχρώμενοσ ἀνεμποδίστωσ τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἴκοι, καθάπερ γραφέων ἔργα ἢ πλαστῶν, εἰσ τοὐμφανὲσ προφέρει, τὸν παρὰ τῶν πολλῶν θηρώμενοσ ἔπαινον, ὁ δ' αὖ διδάσκειν ἐπιχειρῶν, οἷά τισ ἰατρὸσ ἀγαθόσ, οὐ πρὸσ τὸ τῆσ τέχνησ μέγεθοσ, ἀλλὰ πρὸσ τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν, οὐχ ὅσα ἐκ τῆσ ἐπιστήμησ πεπόρικε, ἀμύθητα γὰρ ταῦτά γε, ἀλλ' ὅσων τῷ κάμνοντι δεῖ, στοχαζόμενοσ τοῦ μετρίου, προφέρων ἐπιδίδωσι.

43. Διὸ καὶ Μωϋσῆσ ἐν ἑτέρῳ φησί· δάνειον δανειεῖσ τῷ χρήζοντι ὅσον δεῖται, καθ' ὃ δεῖται, διὰ μὲν τοῦ δευτέρου διδάσκων ὅτι οὐ πάντα χαριστέον, ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων χρείᾳ. τὸ γὰρ ἄγκυραν ἢ πλάτην ἢ πηδάλιον γεωπόνῳ, ἢ ἄροτρα καὶ σκαπάνην κυβερνήτῃ, ἢ λύραν μὲν ἰατρῷ, μουσικῷ δὲ τὰ κατὰ τὴν χειρουργίαν δωρεῖσθαι ὄργανα καταγέλαστον, εἰ μὴ καὶ διψῶσι μὲν πολυτελῆ σιτία, πεινῶσι δὲ πολὺν ἄκρατον ἐπιφέρειν δεῖ, πρὸσ ἐπίδειξιν εὐπορίασ τε ἅμα καὶ μισανθρωπίασ, χλεύην τὰσ ἑτέρων τύχασ τιθεμένουσ. τὸ δὲ

1 *Mang. 253.

4 οἴκοι cum Mang. pro οἶκον scripsimus.

6 παρὰ τῶν πολλῶν θηρώμενοσ: ita codex et Mang. coniectura. Apogr. Mang. παρὰ τῶν πο* θηρόμενοσ.

8 ὅσα cum Mang. pro ὅσουσ scripsimus.

9 ὅσων ipse codex et Mang. coniectura pro ὅσον.

12 ἑτέρῳ: Mang. „forte ἑτέροισ".

12 cf. Deuteron. 15, 8.

14 χαριστέον: ita codex. Apogr. Mang. χαριστά. Mang. „forte χαριστέα".

15 σκαπάνην: ita codex, non σκεπάρνην

18 εὐπορίασ τε: ita codex, non εὐπορίασ δὲ. Mang. „vel prorsus dele δὲ vel repone τε."

19 ἑτέρων cum Mang. („forte melius") pro ἑταίρων scripsimus. τύχασ vero (Mang. ut ante) pro ψυχὰσ ipse codex praebuit. Ibidem τὸ δὲ πόσον: ita codex; edd. δὲ omiserant.

πόσον ἐν ταῖσ χάρισιν αὐτῷ παρείληπται διὰ συμμετρίαν, πρᾶγμα ὠφελιμώτατον· μὴ γὰρ ὅσα δύνασαι χαρίζου, φησὶν ὁ ὀρθὸσ λόγοσ, ἀλλ' ὅσα ἱκανὸσ ὁ δεόμενόσ ἐστι δέξασθαι. ἢ οὐχ ὁρᾷσ ὅτι καὶ ὁ θεὸσ οὐκ ἀναλογοῦντασ τῷ μεγέθει τῆσ αὑτοῦ λογιότητοσ χρησμοὺσ ἀναφθέγγεται, πρὸσ δὲ τὴν τῶν ὠφεληθησομένων ἀεὶ δύναμιν; ἐπεὶ καὶ τίσ ἂν ἐχώρησε θεοῦ λόγων ἰσχὺν τῶν ἁπάσησ κρεισσόνων ἀκοῆσ; ὃ ἀψευδέστατα δοκοῦσιν οἱ Μωϋσῇ λέγοντεσ· λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸσ ἡμᾶσ ὁ θεόσ, μὴ ἀποθάνωμεν. ἔγνωσαν γὰρ ὅτι οὐδὲν ἔχουσι παρ' ἑαυτοῖσ ἀξιόχρεων ὄργανον θεοῦ νομοθετοῦντοσ ἐκκλησίαν· οὐδὲ γὰρ εἰ τὸν πλοῦτον ἐπιδείκνυσθαι βουληθείη τὸν ἑαυτοῦ, χωρήσαι ἂν ἠπειρωθείσησ καὶ θαλάττησ ἡ σύμπασα γῆ· εἰ μὴ νομίζομεν ὑετῶν καὶ τῶν ἄλλων ἐν κόσμῳ φορὰν κατὰ τεταγμένασ καιρῶν περιόδουσ, ἀλλὰ μὴ συνεχῶσ γίνεσθαι διὰ σπάνιν καὶ ἔνδειαν αὐτῶν, ἀλλ' οὐχ ἕνεκα προμηθείασ τῶν χρῃζόντων, οὖσ ἡ συνεχὴσ τῶν ὁμοίων δωρεῶν ἀπόλαυσισ βλάψειν * μᾶλλον ἔμελλεν ἢ ὠφελήσειν. διὸ τὰσ πρώτασ αἰεὶ χάριτασ, πρὶν κορεσθέντασ ἐξυβρίσαι τοὺσ λα-

---

1 sq. πρᾶγμα ὠφελιμώτατον: sic codex, non πράγματα ὠφελιμώτατα (Mang. proposuit πρᾶγμα τὸ ὠφελιμώτατον).

2 δύνασαι cum Mang. pro δύναται correximus; paullo post vero ὅσα ἱκανὸσ ipse codex pro ὅσον ἱκανῶσ praebuit. Praeterea in codice et apud Mang. φησὶ, χαρίζου, ὁ ὀρθὸσ λόγοσ scriptum est. Scribendum videbatur χαρίζου, φησὶν ὁ ὀρθὸσ λόγοσ.

6 sq. ὃ ἀψευδέστατα non mutavimus. Mang. „melius ἢ ἀψευδέστατοι".

7 cf. Exod. 20, 19.

8 ἔγνωσαν codex et Mang. coniectura pro ἔγνωσε.

10 εἰ τὸν πλοῦτον: ita codex. Male apogr. Mang. εἰσ (Mang. omnino εἰ) πλοῦτον. Paullo post χωρήσαι pro χωρῆσαι scripsimus.

12 ὑετῶν καὶ τῶν ipse codex, non ὑετῶν τὴν τῶν. Mang. „forte ὑετοὺσ καὶ τῶν". Paullo post vitiose codex κατὰ ταγμένασ.

15 * Mang. 254.

15 ἢ ὠφελήσειν: ita ipse codex, certe ὠφελήσειν. Apogr. Mang. τῇ ὠφελήσει. Mang. ἢ ὠφελῆσαι proposuit.

16 αἰεὶ codex, non ἀεὶ. Pro κορεσθέντασ ἐξυβρίσαι vero, quod iam Mang. proposuit, codex κορεσθὲν ἐξύβρισε.

χόντασ, ἐπισχὼν καὶ ταμιευσάμενοσ εἰσαῦθισ ἑτέρασ ἀντ' ἐκείνων, καὶ τρίτασ ἀντὶ τῶν δευτέρων, καὶ αἰεὶ νέασ ἀντὶ παλαιοτέρων, τοτὲ μὲν διαφερούσασ, τοτὲ δ' αὖ καὶ τὰσ αὐτὰσ ἐπιδίδωσι. τὸ γὰρ γεννητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρίτων, ἐπεὶ πάντωσ ἂν διέφθαρτο, φέρειν δὲ τὴν πολλὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ. διὸ βουλόμενοσ ὄνησιν ἡμᾶσ ἔχειν ὧν ἐπιδίδωσι πρὸσ τὴν τῶν λαμβανόντων ἰσχὺν τὰ διδόμενα σταθμᾶται.

44. Ἐπαινετέον οὖν καὶ Ῥεβέκκαν, ἣ τοῖσ τοῦ πατρὸσ ἑπομένη διατάγμασιν, ἀφ' ὑψηλοτέρου χωρίου καθελοῦσα τὸ σοφίασ ἀγγεῖον ἐπὶ τὸν βραχίονα, τὴν ὑδρίαν, ὀρέγει τῷ μαθητῇ ἃσ ἱκανὸσ ἐκεῖνόσ ἐστι δέξασθαι διδασκαλίασ. μετὰ δὲ τῶν ἄλλων καὶ τὸ ἄφθονον αὐτῆσ καταπέπληγμαι. μικρὸν γὰρ αἰτηθεῖσα πόμα πολὺ δίδωσιν, ἕωσ ὅλην τὴν ψυχὴν τοῦ μανθάνοντοσ ποτίμων θεωρημάτων ἐπλήρωσεν. λέγει γάρ· ἐπότισεν αὐτὸν ἕωσ ἐπαύσατο πίνων· πρὸσ φιλανθρωπίαν δίδαγμα θαυμασιώτατον. ἐὰν γάρ τισ πλειόνων μὲν τυγχάνῃ χρεῖοσ ὤν, ὀλίγα δὲ ὑπ' αἰδοῦσ προσιὼν αἰτῇ, μὴ ταῦθ' ἅ φησι μόνα παρέχωμεν, ἀλλὰ καὶ τὰ ἡσυχαζόμενα ἐκεῖνα, ὧν πρὸσ ἀλήθειαν ἐνδεήσ ἐστιν. ἀλλ' οὐκ ἀπόχρη μόνον πρὸσ τελείαν ἀπόλαυσιν τῷ γνωρίμῳ καταλαμβάνειν ὅσα ἂν ὁ διδάσκων ὑφηγῆται, εἰ μὴ προσγένοιτο καὶ μνήμη· διόπερ ἐπιδεικνυμένη τὸ φιλόδωρον, ὅτε αὐτὸν πληροῖ ποτισμόσ, ὑπισχνεῖται καὶ ταῖσ καμήλοισ ὑδρεύσασθαι, ἃσ

---

1 ἀντ' ἐκείνων codex, non ἀντὶ ἐκείνων

3 διαφερούσασ codex, non διαφορούσασ

7 σταθμᾶται: ita codex. Apogr. Mang. σταθμῶν, Mang. „melius σταθμῷ".

11 ὑδρίαν: codex ὑδρίαν δὲ, quod Mang. cum ὑδρίαν δὴ mutandum censuit. Nobis δὲ abundare videbatur.

13 δίδωσιν codex, non δίδωσι

19 ἀπόλαυσιν cum Mang. praetulimus scripturae codicis ἀνάπαυσιν.

22 πληροῖ codex, non πληρῇ. Sequitur autem ποταμόσ, quod cum ποτισμόσ commutavimus. Quam vocem non ἐπισχνεῖται (ut apogr. Mang. habet) excipit, sed ὑπόσχνεῖται. Ex punctis super o positis concludo ὑπϊσχνεῖται pro ὑποσχνεῖται correctum esse.

συμβολικῶσ μνήμασ εἶναί φαμεν. μηρυκᾶται γὰρ τὸ ζῶον τὴν τροφὴν ἐπιλεαῖνον, καὶ ὅταν ὀκλάσαν δέξηται βαρύτατον φόρτον, μετὰ πολλῆσ ἄγαν εὐτονίασ ἐγείρεται κούφωσ. οὕτωσ δὲ καὶ ἡ ψυχὴ τοῦ φιλομαθοῦσ, ὅταν ἐπιφορηθῇ τὸ τῶν θεωρημάτων ἄχθοσ, ταπεινοτέρα μὲν οὐ γίνεται, διαναστᾶσα δὲ γέγηθεν· ἐκ δὲ τῆσ ἐπαναπολήσεωσ καὶ ὥσπερ ἐπιλεάνσεωσ τῆσ πρῶτον καταβληθείσησ τροφῆσ περιγίνεται μνήμη τῶν θεωρημάτων. ἰδοῦσα δὲ εὐπαράδεκτον ἀρετῆσ τοῦ παιδὸσ φύσιν ὅλην ἐξεκένωσε τὴν ὑδρίαν εἰσ τὸ ποτιστήριον, τουτέστι τὴν τοῦ διδάσκοντοσ ἅπασαν ἐπιστήμην εἰσ τὴν ψυχὴν τοῦ μανθάνοντοσ. σοφισταὶ μὲν γὰρ ὑπὸ μισθαρνίασ ἅμα καὶ φθόνου τὰσ τῶν γνωρίμων κολούοντεσ φύσεισ πολλὰ ἃ χρὴ λέγειν ἡσυχάζουσι, ταμιευόμενοι τὸν ἀργυρισμὸν εἰσαῦθισ ἑαυτοῖσ. ἄφθονον δὲ καὶ δωρητικὸν ἀρετὴ πρᾶγμα, ὡσ, τὸ λεγόμενον, χειρὶ καὶ ποδὶ * καὶ πάσῃ δυνάμει μὴ ὀκνεῖν ὠφελεῖν. ὅσα οὖν ἠπίστατο, καθάπερ εἰσ δεξαμενὴν τὴν τοῦ γνωρίμου προσχέασα διάνοιαν, ἔρχεται πάλιν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, ἐπὶ τὴν ἀένναον τοῦ θεοῦ σοφίαν, ἵνα καὶ ταῦτα παγίωσ ὀχυρώσηται διὰ μνήμησ καὶ ἄλλων καινοτέρων ἐπιστήμαισ ποτισθῇ· ἀπερίγραφοσ γὰρ ὁ σοφίασ θεοῦ πλοῦτοσ καὶ νέα ἐπὶ παλαιοῖσ ἐκφέρων βλαστήματα, ὡσ ἀνηβῶν δὲ καὶ ἐπακμάζων μηδέποτε λήγειν. διὸ καὶ πάνυ

---

2 ἐπιλεαῖνον: ita codex, non ἐπιλεκίνων. Mang. „forte ἐπιλέαινον“.

5 οὐ γίνεται: ita codex. In apogr. Mang. et edd. οὐ omissum.

7 εὐπαράδεκτον: ita codex et Mang. coniectura pro ἀπαράδεκτον

11 κολούοντεσ: ita codex et coniectura Mang. („forte“) pro ἀκολούοντεσ. Ibidem πολλὰ ἃ pro πολλὰ τί scripsimus. Mang. coniecit πολλά τ' ἅ. Possit etiam πολλ' ἅτινα proponi.

13 *Mang. 255.

15 προσχέασα codex, non προσχέουσα. Edd. Richt. et Tauchn. προσχέουσα.

16 καὶ ταῦτα pro καὶ τὰ reposuimus. Mang. καὶ ταὐτὰ proposuit. Possit etiam inter τὰ et πα- excidisse videri παλαιά, quemadmodum νέα ἐπὶ παλαιοῖσ subsequitur. ποτισθῇ, cuius loco Mangey ποτισθεῖσα reponi volebat, non mutavimus.

19 ἐπακμάζων, quod Mang. suspicatus est, ipse codex praebet. Apographum Mang. miro errore ἐπακμύρων, quod etiam ed. Richt. retinuit.

εὐήθεισ ὅσοι πρὸσ τὸ πέρασ ἡστινοσοῦν ἐπιστήμησ ἀφικέσθαι διενοήθησαν· τὸ γὰρ ἐγγὺσ εἶναι δόξαν μακρὰν ἄγαν τοῦ τέλουσ ἀφέστηκεν, ἐπεὶ τέλειοσ τῶν γεγονότων οὐδεὶσ πρὸσ οὐδὲν μάθημα, ἀλλὰ τοσοῦτον ἐνδεῖ, ὅσον κομιδῇ νήπιοσ παῖσ ἄρτι τοῦ μανθάνειν ἀρχόμενοσ πρὸσ τὸν ἤδη διὰ τὴν ἡλικίαν ἅμα καὶ τὴν τέχνην ὑφηγητήν.

45. Ἐρευνητέον δὲ τὴν αἰτίαν, δι' ἣν τὸν μὲν παῖδα ἀπὸ τῆσ πηγῆσ, τάσ τε καμήλουσ ἀπὸ τοῦ φρέατοσ ποτίζει. μήποτ' οὖν τὸ μὲν νᾶμα ταὐτόν, ὁ τὰσ ἐπιστήμασ ἄρδων ὁ ἱερὸσ λόγοσ, τὸ δὲ φρέαρ συγγενὲσ μνήμησ· ἃ γὰρ βύθια ἀπέφηνεν ἤδη, ταῦθ' ὥσπερ ἐκ φρέατοσ δι' ὑπομνήσεωσ ἄγεται. τοὺσ μὲν οὖν τοιούτουσ τῆσ περὶ τὴν φύσιν εὐμοιρίασ ἀποδεκτέον· εἰσὶ δέ τινεσ τῶν ἀσκητῶν, οἷσ τὴν ἐπ' ἀρετὴν ἄγουσαν ὁδὸν τραχεῖαν καὶ δυσαντῆ καὶ χαλεπὴν νομισθεῖσαν τὸ πρῶτον λεωφόρον αὖθισ ὁ τὰ πάντα εὐεργέτησ ἀπέδειξε θεόσ, εἰσ γλυκύτητα τὸ πικρὸν τοῦ πόνου μεταβαλών. ὃν δὲ τρόπον μετέβαλε, σημανοῦμεν. ὅτε ἡμᾶσ ἐκ τῆσ Αἰγύπτου, τῶν κατὰ τὸ σῶμα παθῶν, ἐξήγαγε, τὴν ἔρημον ἡδονῆσ ἀτραπὸν ὁδεύοντεσ ἐν Μέρροισ ἐστρατοπεδευόμεθα χωρίῳ, πότιμον μὲν οὐκ ἔχοντι νᾶμα, πικρὸν δὲ σύμπαν· ἔτι γὰρ αἱ δι' ὀφθαλμῶν καὶ ὤτων, γαστρόσ τε αὖ καὶ τῶν μετὰ γαστέρα τέρψεισ ἔναυλοί τε ἦσαν καὶ σφόδρα ἐκήλουν ὑπηχοῦσαι. ὁπότ' οὖν διαποζεύγνυσθαι κατὰ τὸ παντελὲσ ἐθέλοιμεν, ἀνθεῖλκον ἐλαυνόμεναι καὶ περιπλεκόμεναι καὶ λιπαρῶσ καταγοητεύουσαι, ὥστε

---

1 εὐήθεισ codex (et Mang.), non εὐήθησ. Contra v. 3 γεγηνότων scriptum est.

8 μήποτ' codex, non μήποτε

9 ταὐτὸν scriptum est, non αὐτὸν, unde Mangeio αὐτὸσ faciendum videbatur. Ibidem ἄρδων ipse codex et Mang. coniectura, non ἀνδρων

12 εὐμοιρίασ codex et Mang., cuius apogr. ἀμοιρίασ ferebat. Item v. 15 πικρὸν, non μικρὸν

17 cf. Exod. 15, 23.

17 Μέρροισ (codex μέροισ): noluimus Μέρρα (Mang. Μερρᾷ) reponere. Videtur enim Μέρρα, Μέρρων, Μέρροισ a Philone flexum esse.

19 αἱ δι' cum Mang. pro ὁ δι' correximus. Ibidem γαστρόσ τε: sic codex. Edd. τε om.

πρὸσ τὰσ συνεχεῖσ τιθασσείασ αὐτῶν ἐνδόντεσ πόνῳ μὲν ἠλλοτριούμεθα ὡσ πικρῷ πάνυ καὶ δυσκόλῳ, παλινδρομεῖν δὲ εἰσ Αἴγυπτον ἐβουλευόμεθα, τὸν ἀσελγοῦσ καὶ ἀκολάστου βίου ὑπόδρομον, εἰ μὴ θᾶττον ὁ σωτὴρ οἶκτον λαβὼν καθάπερ ἥδυσμα ξύλον γλυκαῖνον εἰσ τὴν ψυχὴν ἐνέβαλε, φιλοπονίαν ἀντὶ μισοπονίασ ἐργασάμενοσ· ᾔδει γάρ, ἅτε δημιουργὸσ ὤν, ὅτι τῶν ὄντων οὐδενόσ, εἰ μὴ προσγένοιτο σφοδρὸσ * ἔρωσ, ἔνεστι περιγενέσθαι. ὅσα οὖν ἐπιτηδεύουσιν ἄνθρωποι δίχα μὲν οἰκειώσεωσ τῆσ πρὸσ αὐτὸ τὸ ἁρμόττον, τέλοσ οὐ λαμβάνει, προσγενομένησ δὲ φιλίασ καὶ τῆσ πρὸσ τὸ ποθούμενον συντήξεωσ ἄκρωσ κατορθοῦται.

46. Αὕτη τροφὴ ψυχῆσ ἀσκητικῆσ, ἥδιστον ἀντὶ πικροῦ τὸ πονεῖν ὑπολαβεῖν, ἧσ οὐχ ἅπασι κοινωνῆσαι θέμισ, ἀλλ' οἷσ ὁ χρυσοῦσ μόσχοσ, τὸ Αἰγυπτίων ἀφίδρυμα, τὸ σῶμα, πυρωθὲν καὶ λεανθὲν σπείρεται καθ' ὕδατοσ. λέγεται γὰρ ἐν ἱεραῖσ βίβλοισ, ὅτι λαβὼν Μωϋσῆσ τὸν μόσχον κατέκαυσε πυρὶ καὶ κατήλεσε λεπτὸν καὶ ἔσπειρεν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισε τοὺσ υἱοὺσ Ἰσραήλ. ὁ γὰρ φιλάρετοσ ὑπὸ τῆσ αὐγοειδοῦσ τοῦ καλοῦ φαντασίασ πυρωθεὶσ καταφλέγει τὰσ σωματικὰσ ἡδονάσ, εἶτα κατακόπτει καὶ ἐπιλεαίνει τῷ ἀεὶ διαιρετῇ λόγῳ χρώμενοσ, καὶ διδάσκει τὸν τρόπον τοῦτον ὅτι τῶν σωματικῶν ἀγαθῶν ἐστὶν ὑγίεια ἢ κάλλοσ ἢ ἡ τῶν αἰσθήσεων ἀκρίβεια ἢ τὸ ὁλόκληρον μετὰ ἰσχύοσ καὶ ῥώμησ κρατερᾶσ, ἅτινα πάντα καὶ τῶν ἐπα-

2 πικρῷ: sic codex et Mang. pro μικρῷ

3 βίου cum Mang. scripsimus pro βίον

4 cf. Exod. 15, 25.

6 εἰ μὴ et ἔρωσ codex et Mang. pro εἰ μοὶ et ἔρημοσ (Mang. „ἵμεροσ vel ἔρωσ"). Item v. 9 προσγενομένησ pro προγενομένη.

7 *Mang. 256.

9 συντήξεωσ: Mang. „annon συντεύξεωσ?"

13 χρυσοῦσ: ita omnino pro χρυσὸσ reponi debebat.

16 cf. Exod. 32, 20.

18 αὐγοειδοῦσ cum Mang. pro αὐτοειδοῦσ scripsimus, item v. 19 ἐπιλεαίνει pro ἐπελαύνει. Eodem versu διαιρέτῃ in ipso codice ni fallor scriptum est. Apograph. Mang. διαιρετῷ. Pro ἀεὶ quod praecedit ἀτὶ esse videtur.

22 ἅτινα cum Mang. pro ἀλλά γε dedimus.

ράτων καὶ ἐξαγίστων ἐστὶ κοινά, ὧν, εἴπερ ἦν ἀγαθά, φαῦλοσ οὐδενὸσ οὐδεὶσ ἂν μετέχῃ. ἀλλ' οὗτοι μέν, εἰ καὶ παντάπασι μοχθηροί, ἀλλ' ἄνθρωποί γε ὄντεσ καὶ τῆσ αὐτῆσ φύσεωσ τοῖσ ἀστείοισ κεκοινωνηκότεσ μετέχουσιν αὐτῶν. νυνὶ δὲ καὶ τῶν θηρίων τὰ ἀτιθασσότατα μᾶλλον τοῖσ ἀγαθοῖσ τούτοισ, εἰ δὴ ἀγαθὰ πρὸσ ἀλήθειάν ἐστιν, ἢ οἱ λογικοὶ κέχρηνται. τίσ γὰρ ἂν ἀθλητὴσ πρὸσ ταύρου δύναμιν ἢ ἐλέφαντοσ ἀλκὴν ἐξισωθείη; τίσ δ' ἂν δρομεὺσ προσ σκύλακοσ ἢ λαγωδαρίου ποδώκειαν; ὁ μὲν γὰρ ἀνθρώπων ὀξυδερκέστατοσ πρὸσ δορκάδων ἢ ἀετῶν ὄψιν ἀμβλυωπέστατοσ. ἀκοαῖσ γε μὴν ἢ ὀσμαῖσ πολλῷ τῷ περιόντι τὰ ἄλογα κεκράτηκεν, ὡσ καὶ ὄνοσ μέν, τὸ δοκοῦν ἐν ζώοισ εἶναι νωθέστατον, κωφὴν ἂν ἀποδείξῃ τὴν ἡμετέραν ἀκοήν, ἐλθὼν εἰσ ἐπίκρισιν, κύων δὲ περιττὸν ἐν ἀνθρώπῳ μυκτῆρα μέροσ δι' ὑπερβολὴν τοῦ περὶ τὰσ ὀσμὰσ τάχουσ· ἐξικνοῦνται γὰρ ἐπὶ μήκιστον, ὡσ ὀφθαλμῶν ἁμιλλᾶσθαι φορᾷ.

47. Καὶ τί δεῖ περὶ ἑκάστου διεξιόντα μακρηγορεῖν; ἤδη γὰρ τοῦτο παρὰ τοῖσ δοκιμωτάτοισ τῶν πάλαι λογίων ὡμολόγηται, οἳ τῶν μὲν ἀλόγων μητέρα τὴν φύσιν, ἀνθρώπων δὲ μητρυιὰν * ἔφασαν εἶναι, τῶν κατὰ σώματα μὲν ἀσθένειαν, τῶν δὲ ὑπερβάλλουσαν ἐν ἅπασιν

---

2 μετέχῃ: ita codex, non μετέχει ut apogr. Mangeianum, nec vero magis quod exspectes μετέχοι.

3 ἄνθρωποί γε et φύσεωσ codex. Apogr. Mang. ἀνθρώποισ (Mang. ἄνθρωποι) et φύσει (Mang. φύσεωσ)

7 τίσ δ' ἂν: ita scriptum est, non τίσ δὲ αὖ. Ibidem λαγωδαρίου pro λαγωδαρείου scripsimus.

10 ἄλογα: ita pro ἄλλα scripsimus. ὡσ: codex ἢ ὡσ. Pro καὶ ὄνοσ scriptum est κόνοσ, sed in margine καὶ ὄνοσ emendatum.

12 sqq. μυκτῆρα, ὑπερβολὴν, φορᾷ: apogr. Mang. corrupte μυκτὴρ, ὑπέρβολον, φορᾶσ.

18 φύσιν: ita codex et Mang., cuius apogr. φύσει praebebat. Ibidem μητρυιὰν: codex μητρυὰν. Pro τῶν κατὰ σώματα et τῶν δὲ idem τὴν κατὰ σωμάτων et τὴν δὲ habet. μὲν illud quidem ante κατὰ σώμ. transponendum videtur, sed codex postponit.

18 * Mang. 257.

ἰσχὺν κατανοήσαντεσ. εἰκότωσ οὖν κατήλεσε τὸν μόσχον ὁ τεχνίτησ, τουτέστιν εἰσ μέρη διελὼν τὰ οἷσ σῶμα πλεονεκτεῖ πάντα τοῦ πρὸσ ἀλήθειαν ἐπέδειξεν ἀγαθοῦ μακρὰν διεστῶτα καὶ μηδὲν τῶν ἐφ' ὕδατοσ σπειρομένων διαφέροντα. διὸ καὶ τὸν καταλεσθέντα μόσχον ἐπὶ τὸ ὕδωρ λόγοσ κατέχει σπαρῆναι, τοῦ μηδὲν γνήσιον ἀγαθοῦ φυτὸν ἐν ὕλῃ φθαρτῇ ποτὲ δύνασθαι βλαστάνειν σύμβολον. ὡσ γὰρ εἰσ ποταμοῦ ῥεῦμα ἢ θαλάττησ καταβληθὲν σπέρμα τὰσ ἰδίασ οὐκ ἂν ἐπιδείξαιτο δυνάμεισ· ἀμήχανον γάρ, εἰ μὴ ῥίζαισ ὥσπερ ἀγκύραισ ἐχυροῦ τινὸσ γῆσ μέρουσ ἅπαξ λαβόμενον, ἱδρυνθῆναι ἢ ἔρνοσ ἀναβλαστῆσαι, καὶ εἰ μὴ περιμηκέστατον, ἀλλά τι χαμαίζηλον, ἢ καρποὺσ καθ' ὥρασ τὰσ ἐτησίουσ ἐνεγκεῖν, φθείρει γὰρ τοὺσ σπερματικοὺσ ἅπαντασ τόνουσ ἡ τοῦ ὕδατοσ πολλὴ καὶ βίαιοσ προσκλύσασα φορά· τὸν αὐτὸν τρόπον ὅσα τοῦ τῆσ ψυχῆσ ἀγγείου λέγεταί τε καὶ ᾄδεται πλεονεκτήματα, πρὶν ὑποστῆναι φθείρεται, τῆσ σωματικῆσ οὐσίασ αἰεὶ ῥεούσησ. πῶσ γὰρ νόσοι καὶ γῆρασ καὶ παντελεῖσ ἐπεγίνοντο φθοραί, εἰ μὴ συνεχὴσ ἦν λόγων θεωρητικῶν ὡσ ῥευμάτων ἀπάντλησισ; τούτοισ οὖν ποτίζειν ἀξιοῖ ὁ ἱεροφάντησ τὴν διάνοιαν ἡμῶν τῷ καταφλέξαι τὰσ ἡδονάσ, τῷ τὸ σύστημα τῶν σωματικῶν ἀγαθῶν εἰσ λεπτὸν καὶ ἀνωφελῆ χοῦν καταλέσαντασ ἀναλῦσαι, τῷ ὑπολαβεῖν ὅτι ἐξ οὐδενὸσ

---

1 κατήλεσε (ut etiam Mang.): codex κατηλέησε

8 εἰ μὴ et μέρουσ cum Mang. scripsimus pro εἰ et μέροσ, quae codex praebet.

9 ἱδρυνθῆναι ex codice sumpsimus pro ἱδρυθῆναι

10 καὶ εἰ μή: ita rursus codex, non καὶ οὐ μή

11 sq. φθείρει et προσκλύσασα: ita (cum Mang.) scribendum videbatur pro φθάνει et προσκλύσαι.

15 αἰεὶ codex, non ἀεί. Item νόσοι, non νόσοσ. Ibidem παντελεῖσ: nescio an παντελῶσ praestet.

16 λόγων θεωρητικῶν ὡσ ῥευμάτων: ita certe rectius scribi videbatur quam quod in codice est λόγων θεωρητῶν (ed. Tauchn. addit ὡσ) ῥευμάτων. Mang. reponi voluit λόγων σπερματικῶν ἀπάντλησισ vel ἐπιλέανσισ.

17 ἀξιοῖ cum Mang. pro ἀπαξιοῖ scripsimus, item v. 19 καταλέσαντασ pro καταλύσαντοσ. Praeterea supplevimus ὁ ante ἱεροφάντησ.

αὐτῶν ἐβλάστησέ ποτε καὶ ἤνθησε τὸ πρὸσ ἀλήθειαν καλόν, ὥσπερ οὐκ ἐκ σπερμάτων ἃ σπείρεται καθ' ὕδατοσ.

48. Ταῦροι δὲ καὶ κριοὶ καὶ τράγοι, οὓσ Αἴγυπτοσ διὰ τιμῆσ ἔχει, καὶ ὅσα ἄλλα φθαρτῆσ ὕλησ ἀφιδρύματα ἀκοῇ μόνον νομίζονται θεοί, πρὸσ ἀλήθειαν οὐκ ὄντεσ, ψευδώνυμοι πάντεσ. ἁπαλαῖσ γὰρ ἔτι ταῖσ τῶν νέων ψυχαῖσ οἱ τραγῳδίαν τὸν βίον τυφογερόντων νομίζοντεσ κεκιβδηλευμένουσ χαρακτῆρασ ἐναπομάττονται, διακόνοισ ἀκοαῖσ χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντεσ καὶ μέχρι διανοίασ αὐτὸν ἐντήξαντεσ θεοπλαστεῖν τοὺσ τὰ φρονήματα ἄνδρασ μὲν μηδέποτε γινομένουσ, ἀεὶ δὲ θηλυδρίασ ὄντασ ἠνάγκασαν. ὁ γοῦν μόσχοσ οὐκ ἐξ ἅπαντοσ τοῦ γυναικείου κόσμου κατασκευάζεται, ἀλλ' ἐκ τῶν ἐνωτίων * αὐτὸ μόνον, διδάσκοντοσ ἡμᾶσ τοῦ νομοθέτου ὅτι χειρόκμητοσ οὐδείσ ἐστιν ὄψει καὶ πρὸσ ἀλήθειαν θεόσ, ἀλλ' ἀκοῇ καὶ τῷ νομίζεσθαι, καὶ ἀκοῇ μέντοι γυναικόσ, οὐκ ἀνδρόσ· ἐκνενευρισμένησ γὰρ ἔργον καὶ ἐκτεθηλυμένησ τῷ ὄντι ψυχῆσ τοὺσ τοιούτουσ ὕθλουσ παραδέχεσθαι. τὸ δὲ πρὸσ ἀλήθειαν ὂν οὐ δι' ὤτων μόνον, ἀλλὰ τοῖσ διανοίασ ὄμμασιν ἐκ τῶν κατὰ τὸν κόσμον δυνάμεων καὶ ἐκ τῆσ συνεχοῦσ καὶ ἀπαύστου τῶν ἀμυθήτων ἔργων φορᾶσ κατανοεῖσθαί τε καὶ

5 ἀφιδρύματα ipse codex et Mang. pro ἀφιδρύμενα (sic), item v. 6 ψευδώνυμοι pro ψευδόμενοι

7 τραγῳδίαν τὸν βίον τυφογερόντων: ita pro τραγῳδίαν τὸν βίον τύφων ἐρώντων scripsimus, item infra ἐναπομάττονται pro ἐνκπομάττοντεσ. Apogr. Mang. τραγῳδίαν τὸν βίον ἐρώντων τύφων etc. Mang. vero locum sic restitui voluit: τραγῳδίαν τὸν βίον νομίζοντεσ, τύφων καὶ ἐρώτων τοὺσ κεκιβδηλευμένουσ χαρακτῆρασ ἐναπομάττονται.

9 μέχρι codex, non μέτρου. Pro αὐτὸν vero, quod cum Mang. scripsimus, αὐτῶν habet.

11 ἀεὶ δὲ: ita codex, non ἀεὶ. Item ἀλλ' ἐκ, non ἀλλὰ ἐκ.

13 *Mang. 258.

13 χειρόκμητοσ codex, non χερόκμητοσ

14 καὶ τῷ νομίζεσθαι codex et Mang. pro καὶ τὸ νομίζεσθαι.

16 ἔργον et postea παραδέχεσθαι rectissime codex. Apogr. Mang. et edd. omnes ἔργα et περιδέχεσθαι.

18 sq. συνεχοῦσ καὶ ἀπαύστου τῶν ἀμυθ. ἔργων: haec apogr. Mang. per

γνωρίζεσθαι συμβέβηκε. διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προσώπου τοῦ θεοῦ· ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι, τοῦ ὄντωσ ὄντοσ ἐναργείᾳ μᾶλλον ἀντικαταλαμβανομένου ἢ λόγων ἀποδείξει συνισταμένου. τὸ δ᾽ ὁρατὸν εἶναι τὸ ὂν οὐ κυριολογεῖται, κατάχρησισ δ᾽ ἐστίν, ἐφ᾽ ἑκάστην αὐτοῦ τῶν δυνάμεων ἀναφερομένου. καὶ γὰρ νῦν οὐ φησίν· ἴδετε ἐμέ, ἀμήχανον γὰρ τὸν κατὰ τὸ εἶναι θεὸν ὑπὸ γενέσεωσ τὸ παράπαν κατανοηθῆναι, ἀλλ᾽ ὅτι ἐγώ εἰμι ἴδετε, τουτέστι τὴν ἐμὴν ὕπαρξιν θεάσασθε. ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ, μέχρι τοῦ καταμαθεῖν ὅτι ἔστι τι καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον προελθεῖν· περαιτέρω δὲ σπουδάζειν τρέπεσθαι, ὡσ περὶ οὐσίασ ἢ ποιότητοσ ζητεῖν, ὠγύγιόσ τισ ἠλιθιότησ. οὐδὲ γὰρ Μωϋσῇ τῷ πανσόφῳ κατένευσεν ὁ θεὸσ τοῦτό γε, καίτοιγε μυρίασ ποιησαμένῳ δεήσεισ, ἀλλὰ χρησμὸσ ἐξέπεσεν αὐτῷ ὅτι τὰ μὲν ὀπίσω θεάσῃ, τὸ δὲ πρόσωπον οὐκ ὄψει. τοῦτο δ᾽ ἦν πάνθ᾽ ὅσα μετὰ τὸν θεὸν τῷ σπουδαίῳ καταληπτα, αὐτὸσ δὲ μόνοσ ἀκατάληπτοσ· ἀκατάληπτοσ δὲ ἐκ τῆσ ἄντικρυσ καὶ κατ᾽ εὐθυωρίαν προσβολῆσ, διὰ γὰρ ταύτησ οἷοσ ἦν ἐμηνύετ᾽ ἄν, ἐκ δὲ τῶν ἑπομένων καὶ ἀκολούθων δυνάμεων· αὗται γὰρ οὐ τὴν οὐσίαν, τὴν δ᾽ ὕπαρξιν ἐκ τῶν ἀποτελουμένων αὐτοῖσ παριστᾶσι.

---

incuriam praeterierat. Mang. ad φορᾶσ adnotavit: „videtur sequi debere οὐρανοῦ vel ἀστέρων".

2 cf. Deuteron. 32, 39.

2 ἐναργείᾳ: codex male ἐν ἀργία

7 κατανοηθῆναι: ita codex, non κατανοητικόν, cuius loco Mang. κατανόητον scribi voluit. θεάσασθε vero v. 8 iam Mang. scribendum esse vidit; apogr. θεάσεσθε.

10 ὠγύγιόσ τισ (ut iam edd. Richt. et Tauchn.): ita codex non ὡσ δι᾽ ὑγιόσ τισ. Mang. ὡσ διωλύγιόσ τισ coniecit.

13 cf. Exod. 33, 23.

13 δ᾽ ἦν codex, non δὲ ἦν

16 εὐθυωρίαν cum Mang. scripsimus. Codex εὐθὺ θεωρίαν, non ut apogr. Mang. εὔθυον θεωρίαν. Ibidem ἐμηνύετ᾽ ἄν: ita rectissime codex. Apogr. Mang. ἑρμηνεύεται ἄν, nec ista lectio editoribus falsi suspicionem dedit.

17 οὐσίαν cum Mang. pro ἰδέαν scripsimus. Ibidem in codice est τὴν δ᾽ ὕπαρξιν. Mang. edidit τὴν δι᾽ ὕπαρξιν, sed vertit *sed existentiam*. Hinc iam rectius edd. Richt. et Tauchn. τὴν δὲ ὕπαρξιν.

49. Γεννήσασ τοίνυν ὁ νοῦσ ἀρχὴν σπουδαίασ διαθέσεωσ καὶ ἀρετῆσ τινα πρῶτον τρόπον τὸν Σήθ, τὸν ποτισμόν, ἐπινεανιεύεται καλὴν καὶ ὁσίαν νεανιείαν. φησὶ γάρ· ἐξανέστησέ μοι ὁ θεὸσ σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν· ἐξητασμένωσ γὰρ καὶ περιττῶσ εἴρηται τὸ μηδὲν τῶν θείων σπερμάτων χαμαὶ πίπτειν, ἅπαντα δὲ εἰσ τὸ ἄνω χωρεῖν ἀπὸ τῶν περιγείων ἐξανιστάμενα. τὰ μὲν γὰρ ὑπὸ τῶν θνητῶν καταβαλλόμενα σπέρματα πρὸσ ζώων * ἢ φυτῶν γένεσιν οὐ πάντα τελεσιουργεῖται· ἀγαπητὸν δ' εἰ μὴ τὰ φθειρόμενα πλείω τῶν διαμενόντων ἐστί· σπείρει δ' ὁ θεὸσ ἐν ψυχαῖσ ἀτελὲσ οὐδέν, ἀλλ' οὕτωσ καίρια καὶ τέλεια, ὡσ εὐθὺσ ἐπιφέρεσθαι τὴν τῶν ἰδίων καρπῶν πληθὺν ἕκαστον.

50. Τὸν δὲ Σὴθ σπέρμα ἕτερον εἰπὼν ἀναβλαστῆσαι ὁποτέρου ἕτερον οὐ δεδήλωκεν. ἆρά γε τοῦ δολοφονηθέντοσ Ἄβελ ἢ τοῦ κτείναντοσ Κάϊν; ἀλλὰ μήποτε ἑκατέρου διαφέρει τὸ γέννημα, τοῦ μὲν Κάϊν ὡσ ἐχθρόν, δίψα γὰρ ἀρετῆσ αὐτομολούσῃ κακίᾳ πολεμιώτατον, τοῦ δὲ Ἄβελ ὡσ φίλον καὶ συγγενέσ· ἕτερον γάρ, οὐ μὴν ἀλλότριον, τὸ ἄρτι ἀρχόμενον τοῦ τελείου καὶ τὸ πρὸσ γένεσιν τοῦ πρὸσ τὸ ἀγέννητον. διὰ τοῦθ' ὁ μὲν Ἄβελ τὸ θνητὸν ἀπολιπὼν πρὸσ τὴν ἀμείνω φύσιν μεταναστὰσ οἴχεται, ὁ δὲ Σὴθ ἅτε σπέρμα ὢν ἀνθρωπίνησ

---

1 διαθέσεωσ in codice est. Apogr. Mang. διὰ * *. Mang. „forte διαγωγῆσ".

2 ποτισμόν codex et Mang. coniectura pro πότιμον.

3 νεανιείαν: ita codex, non καὶ (quod iam Mang. expunxit) νεανείαν. Cf. Steph. Thes. sub νεανεία, ubi Philoni ubique νεανιεία restituendum dicit Dind. Ibidem ἐξανέστησε cum Mang. pro ἐξανέστησασ scripsimus. Praeterea cf. Gen. 4, 25.

6 εἰσ τὸ ἄνω χωρεῖν: ita correximus (ut etiam ed. Tauchn.) pro εἰσ τὸν etc. Mang. εἰσ τὸν ἄνω χῶρον proposuit. At tum etiam ἐξανίστασθαι pro ἐξανιστάμενα reponendum.

7 ζώων cum Mang. pro ζωὴν scripsimus.

7 *Mang. 259.

8 ἀγαπητὸν δ' codex, non ἀγαπητὸν δὲ

15 διαφέρει: codex διαφέρῃ

ἀρετῆσ οὐδέποτε τὸ ἀνθρώπων ἀπολείψει γένοσ, ἀλλὰ πρῶτον μὲν παραύξησιν ἄχρι δεκάδοσ ἀριθμοῦ τελείου λήψεται, καθ᾽ ἣν ὁ δίκαιοσ Νῶε συνίσταται, δευτέραν δὲ καὶ ἀμείνω τὴν ἀπὸ τοῦ παιδὸσ αὐτοῦ Σὴμ εἰσ ἑτέραν δεκάδα τελευτῶσαν, ἧσ Ἀβραὰμ ὁ πιστὸσ ἐπώνυμοσ, τρίτην δὲ καὶ τελεωτέραν δεκάδοσ ἑβδομάδα ἀπὸ τούτου μέχρι Μωϋσῆ τοῦ πάντα σοφοῦ παρήκουσαν· ἕβδομοσ γὰρ ἀπ᾽ Ἀβραὰμ οὗτόσ ἐστιν, οὐκέτι κατὰ τὸν ἔξω τῶν ἁγίων κύκλον οἷα μύστησ εἱλούμενοσ, ἀλλ᾽ ὥσπερ ἱεροφάντησ ἐν τοῖσ ἀδύτοισ ποιούμενοσ τὰσ διατριβάσ.

51. Σκόπει δὲ τάσ τε προσ βελτίωσιν ἐπιτάσεισ τῆσ ἀπλήστου καὶ ἀκορέστου τῶν καλῶν ψυχῆσ καὶ τὸν ἀπερίγραφον τοῦ θεοῦ πλοῦτον, ὃσ ἄλλοισ ἀρχὰσ τὰ ἑτέρων δεδώρηται τέλη. τὸ μὲν γὰρ πέρασ τῆσ κατὰ Σὴθ ἐπιστήμησ ἀρχὴ τοῦ δικαίου γέγονε Νῶε, τὴν δὲ τούτου τελείωσιν Ἀβραὰμ ἄρχεται παιδεύεσθαι, ἡ δὲ ἀκροτάτη τοῦδε σοφία Μωϋσέωσ ἐστὶν ἄσκησισ ἡ πρώτη. τοῦ δὲ ἀνωσμένου καὶ κλιθέντοσ ὑπὸ ψυχῆσ ἀσθενείασ Λῶτ αἱ δύο θυγατέρεσ, βουλὴ καὶ συγκατάθεσισ, ἐκ τοῦ νοῦ τοῦ πατρὸσ αὐτῶν ἐθέλουσι παιδοποιεῖσθαι, μαχόμεναι τῷ λέγοντι· ἐξανέστησέ μοι ὁ θεόσ. ὃ γὰρ ἐκείνῳ τὸ ὄν, τοῦτ᾽ αὐταῖσ φασὶ τὸν νοῦν περιποιεῖσθαι δύνασθαι, μεθυούσησ καὶ παραφόρου ψυχῆσ δόγμα εἰσηγούμεναι· νήφοντοσ μὲν γὰρ ἔργον λογισμοῦ καὶ τὸν θεὸν ὁμολογεῖν ποιητὴν καὶ πατέρα τοῦ παντόσ, πίπτοντοσ δὲ ὑπὸ μέθησ καὶ παροινίασ ἑαυτὸν ἑκάστου τῶν ἀνθρωπείων πραγμάτων εἶναι δημιουργόν. πρότερον οὖν αἱ κακαὶ γνῶμαι εἰσ ὁμιλίαν οὐκ

---

4 Σὴμ εἰσ: ita scripsimus pro ἡμεῖσ (vide tabulam), quod codex praebet. Mang. quidem ἡμεῖσ dedit nec quicquam adnotavit. Edd. Richt. et Tauchn. Σὴμ substituerunt.

6 ἀπ᾽ Ἀβραὰμ codex, non ἀπὸ Ἀβραὰμ

7 εἱλούμενοσ non mutavimus. Ed. Tauchn. ἀλώμενοσ substituit.

13 δικαίου cum Mang. pro δίκαιοσ reposuimus.

17 cf. Gen. 19, 32 sq.

20 εἰσηγούμεναι et λογισμοῦ codex et Mang. coniectura pro εἰσηγοῦμαι et λογισμόν. Ex codice vero etiam μὲν γὰρ hausimus. Apogr. et edd. γὰρ omiserant.

ἀφίξονται τῷ πατρί, πρὶν ἐπιφορῆσαι τὸν ἀφροσύνησ πολὺν ἄκρατον καὶ εἴ τι συνετὸν ἦν ἐν αὐτῷ καταλῦσαι. γέγραπται * γὰρ ὅτι ἐπότισαν τὸν πατέρα οἶνον. ὥσθ' ὁπότε μὴ ποτίζουσιν, ὑπὸ νήφοντοσ οὐδέποτε δέξονται σπορὰν ἔννομον, ὅταν δ' ὑποβεβρεγμένοσ κραιπαλᾷ, κυοφορήσουσι, καὶ ἐπιμέμπτοισ μὲν ὠδῖσιν, ἐπαράτοισ δὲ ταῖσ γοναῖσ χρήσονται.

52. Διὸ καὶ Μωϋσῆσ τὴν ἀσεβῆ καὶ ἄναγνον αὐτοῦ σπορὰν συλλόγου θείου παντὸσ ἀπεσχοίνισε. λέγει γάρ· Ἀμμανῖται καὶ Μωαβῖται οὐκ εἰσελεύσονται εἰσ ἐκκλησίαν κυρίου. οὗτοι δ' εἰσὶν ἔγγονοι τῶν Λὼτ θυγατέρων, ὑπολαβόντεσ ἐξ αἰσθήσεωσ καὶ νοῦ, ἄρρενόσ τε καὶ θήλεοσ, ὥσπερ ὑπὸ πατρὸσ καὶ μητρὸσ πάντα γεννᾶσθαι, τοῦτο πρὸσ ἀλήθειαν γενέσεωσ αἴτιον ὑπειληφότεσ. ἡμεῖσ μέντοι καὶ ἐὰν δεξώμεθά ποτε τὴν τροπὴν ταύτην, καὶ ὥσπερ ἐκ κλύδωνοσ ἀνανηξάμενοι λαβώμεθα μετανοίασ, ἐχυροῦ καὶ σωτηρίου πράγματοσ, καὶ μὴ πρότερον μεθώμεθα ἢ κατὰ τὸ παντελὲσ τὸ κυμαῖνον πέλαγοσ, τὴν φορὰν τῆσ τροπῆσ, διεκδῦναι. καθὰ καὶ Ῥαχὴλ πρότερον αἰτησαμένη τὸν νοῦν ὡσ αἴτιον τοῦ ποιεῖν ἔκγονα καὶ ἀκούσασα· μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι; προσέσχε τε τῷ λεχθέντι καὶ μαθοῦσα παλινῳδίαν

2 *Mang. 260.

4 ὑποβεβρεγμένοσ scripsimus, ut etiam Mang. scribi voluit. In codice non ὑποβεβρεγκόμενοσ, sed ὑποβεβρεγκὸσ scriptum est, unde ὑποβεβρεγκὼσ edendum esset, modo haec forma ferenda esset. Videbatur autem ὑποβεβρεγμένοσ propius quam ὑποβεβροχὼσ ad scripturam codicis accedere.

6 cf. Deuteron. 23, 3.

9 Ἀμμανῖται codex, non Ἀμμονῖται (ed. Tauchn. Ἀμμωνῖται)

11 αἰσθήσεωσ cum Mang. pro αἰσθήσεων scripsimus.

12 τοῦτο: nescio an καὶ τοῦτο vel τοῦτο δὲ reponendum sit.

13 ὑπειληφότεσ cum Mang. pro ὑπειληφότασ scripsimus.

14 ποτε τὴν ex codice edidimus. Apogr. Mang. περὶ τὴν ferebat, Mang. περιττὴν malebat. Ibidem τροπὴν, ut etiam Mangey, pro τροφὴν reposuimus.

17 διεκδῦναι ipse codex, non διεδοῦναι. Mang. „scribe διενδοῦναι vel διεκδῦναι".

18 cf. Gen. 30, 2.

ἱερωτάτην ἐποίησε. γέγραπται γὰρ Ῥαχὴλ παλινῳδία θεοφιλὴσ εὐχή· προσθέτω μοι ὁ θεὸσ υἱὸν ἕτερον, ἣν οὐδενὶ τῶν ἀφρόνων ἔξεστι ποιήσασθαι τὴν ἴδιον ἡδονὴν αὐτὸ μόνον τεθηρωμένων, τὰ δ' ἄλλα πλατὺν γέλωτα καὶ χλεύην νομιζόντων.

53. Χορηγὸσ δ' ἐστὶ τούτου τοῦ δόγματοσ ὁ τοῦ δερματίνου Ἢρ συγγενὴσ Αὐνάν. γνοὺσ γάρ, φησίν, οὗτοσ ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ὅταν εἰσῆλθε πρὸσ τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ἐξέχει τοῦτο ἐπὶ τὴν γῆν, φιλαυτίασ καὶ φιληδονίασ ὑπερβεβηκὼσ τοὺσ ὅρουσ. οὐκοῦν εἴποιμ' ἂν αὐτῷ· εἰ τὸ ἴδιον πορίζεισ λυσιτελέσ, πάνθ' ὅσα ἄριστα καταλύσεισ, ἐὰν μηδὲν ἐξ αὐτῶν ὠφέλησαι, τιμὴν γονέων, ἐπιμέλειαν γυναικόσ, παίδων ἀγωγάσ, χρήσεισ ἀμέμπτουσ οἰκετῶν, ἐπιτροπὴν οἰκίασ, πόλεωσ προστασίαν, βεβαίωσιν νόμων, φυλακὴν ἐθῶν, τὴν πρὸσ πρεσβυτέρουσ αἰδῶ, τὴν πρὸσ τοὺσ τετελευτηκότασ εὐφημίαν, τὴν πρὸσ τοὺσ ζῶντασ κοινωνίαν, τὴν πρὸσ τὸ θεῖον ἐν λόγοισ καὶ ἔργοισ εὐσέβειαν; ἀνατρέπεισ γὰρ καὶ ἐκχεῖσ πάντα ταῦτα, σπείρων σεαυτῷ καὶ τιθηνούμενοσ τὴν * γάστριν καὶ ἀκόλαστον καὶ ἀρχὴν κακῶν ἁπάντων ἡδονήν.

54. Ἀφ' ἧσ ἐξαναστὰσ ὁ ἱερεὺσ καὶ θεραπευτὴσ τοῦ μόνου καλοῦ Φινεέσ, ὁ τῶν σωματικῶν στομίων καὶ τρημάτων δίοποσ, ὡσ

---

2 cf. Gen. 30, 24.

3 sq. δ' ἄλλα et δ' ἐστὶ codex, non δὲ ἄλλα et δέ ἐστι. Praeterea χλεύην cum Mang. pro χλόην correximus.

7 cf. Gen. 38, 9.

9 ὑπερβεβηκὼσ ipse codex et Mang. coniectura pro ὑπερβέβηκε.

10 οὐκοῦν εἴποιμ' ἂν αὐτῷ: ita scripsimus pro οὐκ ἂν εἴποιμ' ἂν αὐτῷ. Item εἰ τὸ pro ἐπὶ τὸ corrigendum duximus.

11 ὠφέλησαι: ita scribendum erat, non (cum Mang. et reliquis) ὠφελῆσαι. Ibidem τιμὴν cum Mang. pro τιμὰσ scripsimus. ἐπιμέλειαν vero v. 12 ipse codex pro ἐπιμέλει praebuit; item v. 14 ἐθῶν pro ἔθνων.

16 ἐκχεῖσ (ut etiam edd. Richt. et Tauchn.) recepimus pro ἔχεισ, quod codex in textu habet. In margine habet ἱ οὐκ ἔχεισ. Mang. „quidni ὀλέκεισ?"

17 *Mang. 261.

20 cf. Num. 25, 11.

21 τρημάτων: ita codex, nec male. Mang. ῥημάτων malebat.

μηδὲν αὐτῶν διαμαρτάνον ἐξυβρίζειν, ἑρμηνεύεται γὰρ στόματοσ φιμόσ, λαβὼν τὸν σειρομάστην, τουτέστι μαστεύσασ καὶ ἀναζητήσασ τὴν τῶν ὄντων φύσιν, καὶ μηδὲν σεμνότερον ἀρετῆσ ἀνευρὼν κατεκέντει καὶ ἀνῄρει τῷ λόγῳ τὴν μισάρετον καὶ φιλήδονον γένεσιν, καὶ τοὺσ τόπουσ, ἐξ ὧν ἐβλάστησαν αἱ παράσημοι καὶ παράκοποι χλιδαί τε καὶ θρύψεισ. ὁ γὰρ νόμοσ φησὶν ὅτι διὰ τῆσ μήτρασ ἐξεκέντησε τὴν γυναῖκα. οὕτωσ οὖν καταπαύσασ μὲν τὴν ἐν αὐτῷ στάσιν καὶ τὴν ἴδιον ἀποστραφεὶσ ἡδονήν, ζηλώσασ τὸν θεοῦ τοῦ πρώτου καὶ μόνου ζῆλον, ἄθλων τοῖσ μεγίστοισ δυσὶ τετίμηται καὶ κατέστεπται, εἰρήνῃ καὶ ἱερωσύνῃ· τῇ μέν, ὅτι ἀδελφόν ἐστιν εἰρήνῃ καὶ ὄνομα καὶ ἔργον. τὴν γὰρ ἱερωμένην διάνοιαν λειτουργὸν καὶ θεραπευτρίδα οὖσαν αὐτοῦ πάνθ' οἷσ ὁ δεσπότησ χαίρει πράττειν ἀνάγκη· χαίρει δὲ εὐνομίασ καὶ εὐσταθείασ βεβαιώσει, πολέμων δὲ καὶ στάσεων ἀνατροπῇ, οὐχὶ τῶνδε μόνων οὓσ αἱ πόλεισ ποιοῦνται πρὸσ ἀλλήλασ, ἀλλὰ καὶ τῶν κατὰ ψυχήν. μείζονεσ δ' εἰσὶν οὗτοι καὶ χαλεπώτεροι, ἅτε καὶ τὸ θειότερον τὸν ἐν ἡμῖν λογισμὸν αἰκιζόμενοι, τῶν μὲν ὅπλων ἄχρι τῆσ σωμάτων καὶ χρημάτων ζημίασ προερχομένων, ψυχὴν δὲ ὑγιαίνουσαν μηδέποτε βλάψαι δυναμένων. διόπερ ὀρθῶσ ἂν αἱ πόλεισ ἐποίησαν, πρὶν ὅπλα καὶ μηχανήματα ἀντεπιφέρειν ἀλλήλαισ ἐπ' ἀνδραποδισμῷ καὶ ἀναστάσει παντελεῖ, τῶν πολιτῶν ἕκαστον ἀναπείσα-

---

6 φησὶν invito codice cum Mang. addidimus, item v. seq. καταπαύσασ pro κατακαύσασ substituimus.

8 τὴν ἴδιον: ita codex, non τὴν ἰδίαν

9 κατέστεπται: ita codex et Mang. coniectura pro κατέστακται

10 sq. post τῇ μὲν exspectes τῇ δὲ, sed nihil eiusmodi sequitur.

13 πολέμων δὲ καὶ στάσεων: ita codex et Mang. coniectura. Apogr. Mang. πόλεων δὲ καὶ **

14 τῶνδε μόνων (ut etiam Mang., certe τῶν δὲ μόνων): in codice τῶν δαιμόνων scriptum est.

16 τὸν ἐν ἡμῖν λογισμὸν cum Mang. pro τῶν ἐν ἡμῖν λογισμῶν scripsimus. Ibidem τῶν μέν: μὲν (etiam Richt. et Tauchn.) pro ἐν ἡμῖν scripsimus. Mang. „omnino redundare videtur et ex praecedenti irrepsisse“.

19 ἀλλήλαισ: Mang. „forte ἄλλοισ“.

σαι τὴν ἐν ἑαυτῷ μεγάλην καὶ πολλὴν καὶ συνεχῆ στάσιν καταπαῦσαι· αὕτη μὲν γὰρ πολέμων, εἰ δεῖ τἀληθὲσ εἰπεῖν, ἁπάντων ἀρχέτυπόν ἐστιν, ἧσ ἀναιρεθείσησ οὐδ' οἱ κατὰ μίμησιν ἔτι συνιστάμενοι γενήσονται. βαθείασ δὲ εἰρήνησ χρῆσιν καὶ ἀπόλαυσιν σχήσει τὸ ἀνθρώπων γένοσ ὑπὸ νόμου φύσεωσ διδασκόμενον δι' ἀρετῆσ θεὸν τιμῆσαι καὶ τῆσ λειτουργίασ αὐτοῦ περιέχεσθαι· πηγὴ γὰρ εὐδαιμονίασ καὶ βίου μακραίωνοσ ἥδε.

---

1 καταπαῦσαι: dubii haerebamus utrum hoc an καταγνύναι scriberemus. In codice enim fere καταγνῦσαι scriptum est. (Male apogr. Mang. καταγησ** ferebat, unde ipse Mang. καταργήσασθαι coniecit.) Poterant autem ex unciali quidem scriptura ΓΝΥ et ΠΑΥ facile confundi. Ceterum ad καταπαῦσαι conferendum est quod paullo ante (142, 7) praecessit: οὕτωσ οὖν καταπαύσασ μὲν τὴν ἐν αὐτῷ στάσιν.

3 οὐδ' οἱ codex, non οὐδὲ οἱ

4 σχήσει cum Mang. pro σχήσειν dedimus.

5 δι' ἀρετῆσ: δι' supplevimus, quum ἀρετῆσ quod codex praebet ferri nequeat. Ibidem θεὸν τιμῆσαι καὶ τῆσ λειτουργίασ: ita ipse codex, nisi quod τιμῆσ pro τιμῆσαι praebet. Apogr. Mang. θεὸν τιμὰσ λειτ. Mangey: „forte θεοῦ τιμῆσ vel θεὸν τιμᾷν, ubi tamen deest καὶ". Edd. Richt. et Tauchn. θεὸν τιμῶν λειτουργίασ.

*ΕΚ ΤΩΝ ΕΝ ΕΞΟΔΩ ΗΤΟΙ ΕΞΑΓΩΓΗ ΖΗΤΗΜΑΤΩΝ ΚΑΙ ΛΥΣΕΩΝ.

1. Τίνα τὰ Χερουβίμ;

Τὰ Χερουβὶμ ἑρμηνεύεται μὲν ἐπίγνωσισ πολλή, ἢ ἐν ἑτέροισ ὄνομα ἐπιστήμη πλουσία καὶ κεχυμένη· σύμβολα δέ ἐστι δυεῖν τοῦ ὄντοσ δυνάμεων, ποιητικῆσ τε καὶ βασιλικῆσ. πρεσβυτέρα δὲ ἡ ποιητικὴ τῆσ βασιλικῆσ κατ' ἐπίνοιαν· ἰσήλικεσ γὰρ αἵγε περὶ τὸν θεὸν απάσαι δυνάμεισ, ἀλλὰ προεπινοεῖταί πωσ ἡ ποιητικὴ τῆσ βασιλικῆσ. βασιλεὺσ γάρ τισ οὐχὶ τοῦ μὴ ὄντοσ, ἀλλὰ τοῦ γεγονότοσ· ὄνομα δὲ ἔλαχεν ἐν τοῖσ ἱεροῖσ γράμμασιν ἡ μὲν ποιητικὴ θεόσ, τὸ γὰρ ποιῆσαι θεῖναι ἔλεγον οἱ παλαιοί· ἡ δὲ βασιλικὴ κύριοσ, ἐπειδὴ τὸ κῦροσ ἁπάντων ἀνάκειται τῷ βασιλεῖ.

2. Διατί χρυσοῦ τορευτά;

Ὁ μὲν χρυσὸσ σύμβολον τῆσ τιμιωτάτησ οὐσίασ, ἡ δὲ τορεία τῆσ ἐντέχνου καὶ ἐπιστημονικῆσ φύσεωσ. ἔδει γὰρ τὰσ πρώτασ τοῦ ὄντοσ δυνάμεισ ἰδέασ ἰδεῶν ὑπαρχούσασ καὶ τῆσ καθαρωτάτησ καὶ ἀμιγοῦσ καὶ τιμαλφεστάτησ καὶ προσέτι τῆσ ἐπιστημονικωτάτησ φύσεωσ μεταλαχεῖν.

---

* Graeca exscripsimus ex cod. Vatic. 379 fol. 385 verso sqq. Latina Armeniacis suis Aucherus adposuit.

4 ἢ (quod cum Grossmanno supplevimus) ἐν ἑτέροισ — κεχυμένη: haec interpres Armenus non intellexit.

7 αἵγε: ita omnino legendum est. Grossm. αἵτε exscripsit, cuius loco ἅτε substituendum censuit.

EX QUAESTIONUM ET SOLUTIONUM EARUM QUAE SUNT IN EXODO LIB. II.

Quid sit Cherubim? (Exod. 25, 18.)

Interpretatur scientia multa, in caetera nomina intelligentiam ac copiam suam refundens. Symbolum autem est duplicis virtutis, creativae et regiae; maior tamen est creativa secundum cogitationem. Quamvis enim coaetaneae sint quae circa deum sunt virtutes, verum prius intelligitur creativa quam regia. Rex enim est quisquam non eius qui non est, sed eius qui factus est. Titulum autem sortita est in sacris scripturis creativa (virtus), ut *deus* appellaretur; quoniam apud maiores (Graecorum) loco verbi *facere* (ut creare) dicebatur *ponere* (Graece θῆναι, Arm. *tnel:* hinc *theos*, *deus*). Regia vero (virtus) *dominus* vocatur, quoniam titulus domini ab omnibus [*vel* universorum] consecratum est regi.

Quare aurei tornatiles? (Exod. 25, 18.)

Aurum symbolum est pretiosae substantiae, tornatile vero artificiosae atque intelligentia praeditae naturae. Oportet enim primas entis virtutes species specierum esse, et puriores, simplices ac pretiosissimas, insuper etiam intelligentiorem essentiam sortiri.

---

12 τὸ κῦρος ἁπάντων: Aucherus dubius haerebat utrum *ab omnibus* an *universorum* verteret. Graecum ἁπάντων docet *universorum* vertendum esse.

20 καὶ τῆς καθαρωτάτης etc: his Latina non satis respondent: *et puriores simplices* etc. Notat autem Aucherus ad vocem *pretiosissimas*: „Vel *rarissimas*, ubi vox Armena in genitivo casu exarata aut erronea est, aut ad sequens referenda, hoc modo: *non solum pretiosissimam, sed etiam* etc.“

3. Διατί ἐπ' ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου τὰ Χερουβὶμ ἥρμοττε;

Τοὺσ ὅρουσ τοῦ παντὸσ οὐρανοῦ καὶ κόσμου δυσὶ ταῖσ ἀνωτάτω φρουραῖσ ὠχυρῶσθαι, τῇ τε καθ' ἣν ἐποίει τὰ ὅλα θεόσ, καὶ τῇ καθ' ἣν ἄρχει τῶν γεγονότων. ἔμελλε γὰρ ὡσ οἰκειοτάτου καὶ συγγενεστάτου κτήματοσ προκήδεσθαι ἡ μὲν ποιητική, ἵνα μὴ λυθείη τὰ πρὸσ αὐτῆσ γενόμενα, ἡ δὲ βασιλική, ὅπωσ μηδὲν μήτε πλεονεκτῇ μήτε πλεονεκτῆται, νόμῳ βραβευόμενα τῷ τῆσ ἰσότητοσ, ὑφ' ἧσ τὰ πράγματα διαιωνίζεται. πλεονεξία μὲν γὰρ καὶ ἀνισότησ ὁρμητήρια πολέμου, λυτικὰ τῶν ὄντων· τὸ δὲ ἔννομον καὶ τὸ ἴσον εἰρήνησ σπέρματα, σωτηρίασ αἴτια καὶ τῆσ εἰσάπαν διαμονῆσ.

4. Διατί φησίν· ἐκτείνει τὰσ πτέρυγασ τὰ Χερουβὶμ ἵνα συσκιάζῃ;

Αἱ μὲν τοῦ θεοῦ πᾶσαι δυνάμεισ πτεροφυοῦσι, τῆσ ἄνω πρὸσ τὸν πατέρα ὁδοῦ γλιχόμεναί τε καὶ ἐφιέμεναι· συσκιάζουσι δὲ οἷα πτέρυξι τὰ τοῦ παντὸσ μέρη. αἰνίττεται δὲ ὡσ ὁ κόσμοσ σκέπαισ καὶ φυλακτηρίοισ φρουρεῖται, δυσὶ ταῖσ εἰρημέναισ δυνάμεσι τῇ τε ποιητικῇ καὶ βασιλικῇ.

5. Διατί τὰ πρόσωπα τῶν Χερουβὶμ εἰσ ἄλληλα ἐκνεύει καὶ ἄμφω πρὸσ τὸ ἱλαστήριον;

Παγκάλη τίσ ἐστι καὶ θεοπρεπὴσ ἡ τῶν λεχθέντων εἰκών. ἔδει γὰρ τὰσ δυνάμεισ τήν τε ποιητικὴν καὶ βασιλικὴν εἰσ ἀλλήλασ ἀφορᾶν, τὰ σφῶν κάλλη κατανοούσασ καὶ ἅμα πρὸσ τὴν ὠφέλειαν τῶν γεγονότων συμπνεούσασ. δεύτερον ἐπειδὴ ὁ θεὸσ εἷσ ὢν καὶ ποιητήσ ἐστι καὶ βασιλεύσ, εἰκότωσ αἱ διαστᾶσαι δυνάμεισ πάλιν ἕνωσιν ἔλαβον. καὶ γὰρ διέστησαν ὠφελίμωσ, ἵνα ἡ μὲν ποιῇ, ἡ δὲ ἄρχῃ· διαφέ-

---

4 ὠχυρῶσθαι: Grossm. vitiose ὠχυρεῦσθαι.

9 διαιωνίζεται: ita (cf. Arm.) pro διαμονίζεται dedimus, licet de usu eius verbi passivo non constet (διηνεκίζεται? διομαλίζεται?), σπέρματα pro τέρματα, ἔννομον pro εὔνομον. Cf. Mang. II, 665.

Cur in ambobus lateribus altaris Cherubim collocabat? (Exod. 25, 18.)

Terminos totius caeli mundique duabus ac superioribus custodiis muniri (designat): una secundum illud quo omnia faciebat deus, et altera, secundum quod princeps est creaturarum. Quoniam velut familiari ac cognatae possessioni prius curam habitura erat creativa (virtus), ne dissolverentur per eam creata; regia vero ne quidpiam redundasset, symbolice concilians victoriam indicio paritatis, qua res perseverant. Siquidem excessu imparitateque incursiones bellorum dissolutiones sunt entium, bene vero ordinatae atque aequae pacis semina, salutis causae atque perpetuo perseverandi.

Quare dicit: Extendat (Extendant) alas Cherubim, ut obumbret? (Exod. 25, 20.)

Dei virtutes omnes alatae comperiuntur, supernam ad patrem viam desiderantes. Obumbrare vero alarum instar universi partes subsignat, quippe quod mundus tegatur per custodiam ambarum virtutum, quae sunt, ut dictum est, creativa et regia.

Cur facies Cherubim ad se invicem respiciunt, et ambo (vultus) in propitiatorium? (Exod. 25, 20.)

Optima atque decentissima est dictorum forma; nam conveniens fuit ut virtutes creativa et regia se mutuo respicerent, propriam pulchritudinem cernentes, et simul in utilitatem factorum ambo conspirarent. Secundo quia deus unus est, tum creator tum rex, iure distinctam virtutem sumpsere; distinctae autem fuere utiliter, ut una faceret, altera imperaret. Quia vero sepa-

---

24 ἔδει: Grossm. per errorem manifestum εἴδει.

25 εἰσ ἀλλήλασ: sic legendum pro εἰσ ἀλληγορίαν. Confirmat emendationem Armenus.

ρει γὰρ ἑκάτερον· καὶ ἡρμόσθησαν ἑτέρῳ τρόπῳ κατὰ τὴν τῶν ὀνομάτων ἀΐδιον προσβολήν, ὅπωσ καὶ ἡ ποιητικὴ τῆσ βασιλικῆσ καὶ ἡ βασιλικὴ τῆσ ποιητικῆσ ἔχηται· ἀμφότεραι γὰρ συννεύουσιν εἰσ τὸ ἱλαστήριον. εἰκότωσ· εἰ μὴ γὰρ ἦν τοῖσ νῦν οὖσιν ἵλεωσ ὁ θεόσ, οὔτ᾿ ἂν εἰργάσθη τι διὰ τῆσ ποιητικῆσ οὔτ᾿ ἂν εὐνομήθη διὰ τῆσ βασιλικῆσ.

6. Τί ἐστι· γνωσθήσομαί σοι ἐκεῖθεν;

Γνῶσιν καὶ ἐπιστήμην ὁ εἰλικρινέστατοσ καὶ προφητικώτατοσ νοῦσ λαμβάνει τοῦ ὄντοσ οὐκ ἀπ᾿ αὐτοῦ τοῦ ὄντοσ, οὐ γὰρ χωρήσει τὸ μέγεθοσ, ἀλλ᾿ ἀπὸ τῶν πρώτων αὐτοῦ καὶ δορυφόρων δυνάμεων. καὶ ἀγαπητὸν ἐκεῖθεν εἰσ τὴν ψυχὴν φέρεσθαι τὰσ αὐγάσ, ἵνα δύνηται διὰ τοῦ δευτέρου φέγγουσ τὸ πρεσβύτερον καὶ αὐγοειδέστερον θέασασθαι.

7. Τί ἐστι· λαλήσω ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν Χερουβίμ;

Ἐμφαίνει διὰ τούτου πρῶτον μὲν ὅτι καὶ τῆσ ἵλεω καὶ τῆσ ποιητικῆσ καὶ πάσησ δυνάμεωσ ὑπεράνω τὸ θεῖόν ἐστιν. ἔπειτα δὲ ὅτι λαλεῖ κατὰ τὸ μεσαίτατον τῆσ τε ποιητικῆσ καὶ βασιλικῆσ. τοῦτο δὲ τοιοῦτον ὑπολαμβάνει νοῦσ· ὁ τοῦ θεοῦ λόγοσ μέσοσ ὢν οὐδὲν ἐν τῇ φύσει καταλείπει κενόν, τὰ ὅλα πληρῶν, καὶ μεσιτεύει καὶ διαιτᾷ τοῖσ παρ᾿ ἑκάτερα διεστᾶναι δοκοῦσι, φιλίαν καὶ ὁμόνοιαν ἐργαζόμενοσ. ἀεὶ γὰρ κοινωνίασ αἴτιοσ καὶ δημιουργόσ.

8. Τὰ μὲν οὖν περὶ τὴν κιβωτὸν κατὰ μέροσ εἴρηται· δεῖ δὲ συλλήβδην ἄνωθεν ἀναλαβόντα τοῦ γνωρίσαι χάριν τίνων ταῦτά ἐστι σύμβολα διεξελθεῖν. ἦν δὲ ταῦτα συμβολικά· κιβωτὸσ καὶ τὰ ἐν αὐτῇ θησαυριζόμενα νόμιμα, καὶ ἐπὶ ταύτησ τὸ ἱλαστήριον, καὶ τὰ ἐπὶ τοῦ ἱλαστηρίου Χαλδαίων γλώττῃ λεγόμενα Χερουβίμ, ὑπὲρ δὲ τούτων κατὰ τὸ μέσον φωνὴ καὶ λόγοσ, καὶ ὑπεράνω ὁ λέγων. εἰ

12 εἰσ τὴν ψυχήν: hinc interpreti *ad animam* restitue.
20 νοῦσ: ita praeeunte Armeno scripsimus pro νοῦν, quod Grossm. edidit.

ratae sunt, concinnatae quoque fuerunt alio modo cum nominibus, perpetuam inter se habentes connexionem, ita ut tam creativa spectatrix sit principativae, tam creativae regia. Sicut autem se mutuo respiciunt, ita etiam iure propitiatorium: quoniam si non erat simul convenientium propitius deus, nec fecisset quicquam per creativam neque disposuisset per regiam.

Quid est: Innotescam vobis inde? (Exod. 25, 22.)

Scientiam et intelligentiam magis lucida ac prophetica mens recipit entis, non ab ipso (immediate) ente, vix enim portabit maiestatem, sed ex primis eius ministralibus virtutibus. Placet autem inde ad animas pervenire splendores, ut possit per secundos splendores maiorem atque splendidissimum cernere.

Quid est: Loquar tibi desursum ex propitiatorio, e medio duorum Cherubim? (Exod. 25, 22.)

Ostendit hoc imprimis, quod propitiam, creativam omnemque virtutem superat divinitas; deinde vero, quod loquitur quasi de medio creativae. Hoc autem huiusmodi quidpiam arbitratur mens. Dei verbum, eo quod in medio est conveniente, nihil omnino in natura relinquit vacuum, omnia implens, atque fit mediator arbiterque utriusque partis a se invicem ut putatur disiunctae, amore et concordia facta; semper enim communionis est causa et pacificum.

Porro de arca secundum partes eius disseruimus; oportet tamen cuncta simul resumere propter notificationem, quorum haec symbola fuerint, obiter significando. Symbolica namque haec erant: arca et lex in ea recondita, supraque istam propitiatorium; deinde super propitiatorium Cherubim Chaldaica lingua dicti; superius autem e regione medii vox et verbum, et supra

---

22 post ἑκάτερα apud Grossm. οἵ additur, quod locum habere nequit.
30 εἰ δέ τις: Grossm. δέ omittit.

δέ τισ ἀκριβῶσ δυνηθείη κατανοῆσαι τὰσ τούτων φύσεισ, δοκεῖ μοι πᾶσι τοῖσ ἄλλοισ ἀποτάξασθαι ὅσα ζηλωτά, κάλλεσι θεοειδεστάτοισ περιληφθείσ.

9. Σκοπῶμεν δὲ ἕκαστον οἷόν ἐστι. τὸ πρῶτον ὁ καὶ ἑνὸσ καὶ μονάδοσ καὶ ἀρχῆσ πρεσβύτεροσ. ἔπειτα ὁ τοῦ ὄντοσ λόγοσ, ἡ σπερματικὴ τῶν ὄντων οὐσία. ἀπὸ δὲ τοῦ θείου λόγου, καθάπερ ἀπὸ πηγῆσ, σχίζονται αἱ δύο δυνάμεισ· ἡ μὲν ποιητική, καθ᾽ ἣν ἔθηκε τὰ πάντα καὶ διεκόσμησεν ὁ τεχνίτησ, αὕτη θεὸσ ὀνομάζεται· ἡ δὲ βασιλική, καθ᾽ ἣν ἄρχει τῶν γεγονότων ὁ δημιουργόσ, αὕτη καλεῖται κύριοσ. ἀπὸ δὲ τούτων τῶν δυεῖν δυνάμεων ἐκπεφύκασιν ἕτεραι. παραβλαστάνει γὰρ τῇ μὲν ποιητικῇ ἡ ἵλεωσ, ἧσ ὄνομα εὐεργέτισ, τῇ δὲ βασιλικῇ ἡ νομοθετική, ὄνομα δὲ εὐθυβόλον ἡ κολαστήριοσ. ὑπὸ δὲ ταύτασ καὶ περὶ ταύτασ ἡ κιβωτόσ. ἔστι δὲ κιβωτὸσ κόσμου νοητοῦ σύμβολον. ἔχει δὲ τὰ πάντα ἱδρυμένα ἐν τοῖσ ἐσωτάτοισ ἁγίοισ συμβολικῶσ ἡ κιβωτόσ, τὸν ἀσώματον κόσμον, τὰ νόμιμα ἃ κέκληκε μαρτύρια, τὴν νομοθετικὴν καὶ κολαστήριον δυνάμεισ, τὸ ἱλαστήριον, τὴν ἵλεω καὶ εὐεργέτιν, τὰσ ὑπεράνω, τήν τε ποιητικήν, ἥτισ ἐστὶ πίστισ τῆσ ἵλεω καὶ εὐεργέτιδοσ, καὶ τὴν βασιλικήν, ἥτισ ἐστὶ ῥίζα τῆσ κολαστηρίου καὶ νομοθετικῆσ. ὑπεμφαίνεται δὲ μέσοσ ὢν ὁ θεῖοσ λόγοσ, ἀνωτέρω δὲ τοῦ λόγου ὁ λέγων. ἔστι δὲ καὶ ὁ τῶν κατειλεγμένων ἀριθμὸσ ἑβδομάδι συμπληρούμενοσ νοητὸσ κόσμοσ, καὶ δυνάμεισ δύο συγγενεῖσ ἥ τε κολαστήριοσ καὶ εὐεργέτισ, καὶ ἕτεραι πρὸ τούτων δύο ἥ τε ποιητικὴ καὶ ἡ βασιλική, συγγένειαν ἔχουσαι μᾶλλον πρὸσ τὸν δημιουργὸν ἢ τὸ γεγονόσ, καὶ ἕκτοσ ὁ λόγοσ, καὶ ἕβδομοσ ὁ λέγων. ἐὰν δὲ ἄνωθεν τὴν καταρίθμησιν ποιῇ, εὑρήσεισ τὸν μὲν λέγοντα

---

1 δοκεῖ μοι etc.: haec rursus depravavit interpres.

6 ὁ τοῦ ὄντοσ λόγοσ: ita nobis scribendum videbatur. Grossm. τοῦ ὄντοσ λόγου ediderat.

8 αἱ δύο: αἱ, quod post σχίζονται facillime excidit, ipsi supplevimus.

10 ἄρχει: ita pro αἱ ἀρχαὶ, quod apud Grossmannum legitur, edendum iudicavimus.

illud dicens. Quodsi itaque accurate haec perspicere atque intelligere quis poterit horum naturas, ultro ego renunciabo caetera omnia, quaecumque aemulationem merent deiformi pulchritudine circumdata.

Verumtamen consideremus singula, utcumque se habeant. Primus est (ens) ille, qui maior (natu) est etiam uno vel unico et principio. Deinde Entis verbum, seminativa entium vere essentia. Ex ente vero verbo tamquam ex fonte disruptae scaturiunt ambae virtutes. Una est creativa, secundum quod posuit (creavit scilicet) omnia et ornavit artifex: is deus appellatur. Altera regia, secundum quod princeps est factorum a creatore: is vocatur dominus. Ex his ergo duabus virtutibus germinant aliae. Quoniam germinat apud creativam propitia, cuius nomen est proprium benefica; apud vero regiam legislativa, cui nomen datur conveniens percussiva; sub his autem et iuxta haec arca. Arca autem est intelligibilis mundi symbolum, et habet omnia collocata sede in adyto sanctorum: symbolice inquam arca incorporeum mundum, et legem quam nuncupavit testimonium, legislativam et percussivam virtutem, propitiam ac beneficam superioremque creativam, quae est fons propitiae et beneficae, atque regiam, quae est radix percussivae et legislativae. Excellit tamen, eo quod in medio est, divinum verbum, verbum autem superat qui dicit. Quibus dinumeratis septenarius completur numerus: mundus videlicet intellectualis, et virtutes, quatenus cognatae sunt, percussiva et benefica, atque duae aliae his anteriores, creativa et regia, cognationem habente maiorem creativa, et gente singulisque, atque verbum, septimus autem qui dicit.

---

13 ἡ κολαστήριοσ: ita haud dubie corrigenda erat vitiosissima Grossmanni scriptura ἡ κολαστήρεον.

24 συγγένειαν ἔχουσαι etc.: rursus vehementer erravit interpres. Aucherus ipsa verba testatur sonare: *cognationem habet ampliorem creator et gens et unusquisque* [*unumquodque*] *verbum*.

πρῶτον, τὸν δὲ λόγον δεύτερον, τρίτον δὲ τὴν ποιητικὴν δύναμιν, τετάρτην δὲ τὴν ἀρχήν, εἶτα δὲ ὑπὸ μὲν τῇ ποιητικῇ πέμπτην τὴν εὐεργέτιν, ὑπὸ δὲ τῇ βασιλικῇ ἕκτην τὴν κολαστήριον, ἕβδομον δὲ τὸν ἐκ τῶν ἰδεῶν κόσμον.

---

* Διατί τὸν ἐν τῷ σαββάτῳ συλλέξαντα ξῦλα καταλευσθῆναι προσέταξεν; (Num. 15, 32.)

Ἀποφαίνεται ὁ θεὸσ ὅτι θνήσκειν ὀφείλει καὶ οὐχ ἑτέρωσ ἢ καταλευσθείσ, ἐπειδήπερ ὁ νοῦσ εἰσ κωφὴν λίθον μετέβαλεν εἰργασμένῳ τελεώτατον παρανόμημα.

Philonis sententiae.**

1. Αἱ ἐκ χρημάτων καὶ κτημάτων ἐπιθυμίαι τοὺσ χρόνουσ ἀναλίσκουσι· χρόνου δὲ φείδεσθαι καλόν.

Cf. Mang. II. pag. 474. (De vita contemplativa.) Ibi vero est: Αἱ γὰρ χρημάτων καὶ κτημάτων ἐπιμέλειαι etc.

2. Τὰ καλὰ κἂν φθόνῳ πρὸσ ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιρῷ λυθέντα αὖθισ ἀναλάμπει.

Cf. Mang. II. pag. 672. Ser. XCIX. Ibi male legitur: Τὰ καὶ ἂν φθόνῳ πρὸσ ὀλίγον ἐπισκιασθέντα χρόνον etc.

3. Μεῖζον ἀνθρώπῳ κακὸν ἀφροσύνησ οὐδέν ἐστιν, τὸ ἴδιον τοῦ λογιστικοῦ γένουσ τὸν νοῦν ζημιωθέντι.

Cf. Mang. II. pag. 649. (Ex Ioh. Dam. sacr. parall. p. 363. A.) Extrema ibi leguntur scriptura satis corrupta hunc in modum: ἐστι, τοῦ ἰδίου τοῦ λογισμοῦ γένουσ τὸν νοῦν ζημιωθέντι.***

4. Ἐγχρονίζον ἔθοσ φύσεωσ κραταιότερόν ἐστιν, καὶ μικρὰ μὴ

---

* Hausimus scholion istud ex catena codicis Vaticani 746 pag. 11.

** Ex codice Cahirino saeculi decimi.

*** Eadem apud Antonium tit. 28: τῷ ἴδιον τοῦ λογιστικοῦ etc. Hinc Mang. vult τῷ τὸ ἴδιον τοῦ λογικοῦ etc.

Quod si de superiore inchoabis, primo dicens, et secundo verbum, tertio virtus creativa, quarto principativa, deinde sub creativa quinto benefica, et sub regia sexto percussiva, septimus autem est mundus ex speciebus constans.

κωλυόμενα ἁμαρτήματα φύεται καὶ ἐπιδίδοται πρὸσ μέγεθοσ συναυξάνοντα.

Cf. Mang. II. pag. 674. (Ex florilegio Barocc. Περὶ συνηθείασ καὶ ἔθουσ.) Differunt illa a nostris eo quod habent καὶ τὰ μικρὰ μὴ κωλυόμενα omissa voce ἁμαρτήματα, et pro συναυξάνοντα praebent αὐξάνοντα.

5. (Anecdot. 10.) Τοιοῦτοσ γίνου περὶ τοὺσ σοὺσ οἰκέτασ οἷον εὔχῃ σοὶ τὸν θεὸν γενέσθαι· ὡσ γὰρ ἀκούομεν ἀκουσθησόμεθα ὑπὸ τοῦ θεοῦ, καὶ ὡσ ὁρῶμεν ὁραθησόμεθα ὑπ' αὐτοῦ· προενέγκωμεν οὖν τοῦ ἐλέου τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

Cf. Mang. II. pag. 672. Ser. LVII. Omittitur ibi ὑπὸ τοῦ θεοῦ et pro ὑπ' αὐτοῦ editum est ὑπὸ αὐτοῦ. Praeterea ibi pariter atque in codice Cahirino ὁρασθησόμεθα scriptum est, quae forma a Philone minime profecta videtur. προενέγκωμεν ex cod. Barocc. adsumpsimus pro προσενέγκωμεν. Hoc si retinetur, pro τοῦ ἐλέου scribendum videbitur τῷ δούλῳ. At potius dictum est, nobis erga alios misericordiam praestandam esse antequam dei erga nos experiamur misericordiam. Quod concinne dictum est, modo προφέρειν eo quo accepimus sensu poni possit. Deinde Mang. τοῦ ὁμοίου vult.

6. (Anecdot. 7.) Τοῦ φαύλου ἕτερα μὲν τὰ ἐνθύμια, ἕτερα δὲ τα ῥήματα, ἄλλαι δὲ αἱ πράξεισ, διάφορα δὲ πάντα καὶ μαχόμενα.

Cf. Mang. II. pag. 663. (Ex Ioh. Dam. codice Rupefucald.) Rectissime vero in nostro codice ἄλλαι δὲ pro πολλαὶ δὲ apud Mang. legitur. Nec aliter scriptum est apud Maxim. Confess. in gnomolog. I. pag. 530. ed. Combef. et in codice bibl. Lips. Paul.

Tischendorfiano VIII, de quo cf. Florileg. Lips. spec. ed. Westerm. pag. 10.

7. (Anecd. 24.) Ἀναιδὲσ βλέμμα καὶ μετέωροσ αὐχὴν καὶ συνεχὴσ κίνησισ ὀφρύων καὶ βάδισμα σεσοβημένον καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾶν σημεῖα ψυχῆσ ἐστὶν αἰσχίστησ, τοὺσ ἀφανεῖσ τῶν οἰκείων ὀνειδῶν τύπουσ ἐγγραφούσησ τῷ φανερῷ σώματι.

Cf. Mang. II. pag. 652. (Ex Ioh. Dam. sacr. parall. p. 658.) Ibi vero pro ὀφρύων legitur ὀφθαλμῶν, ἐστι ψυχῆσ pro ψυχῆσ ἐστὶν. Denique pro τύπουσ editum est apud Lequien pariter atque ab Mangeio eisque qui secuti sunt τόποισ. Quod vitium non tam a libris scriptis quam a mira editorum incuria pendere videtur; certe enim iam apud Lequien in interpretatione Graecis adiecta τύπουσ expressum est: *haec foedissimi animi indicia sunt, obscuras probrorum suorum* *formas* *in conspicuo corpore insculpentis.*

8. (Anecd. 25.) Οὐκ ἔστιν παρὰ θεοῦ οὔτε πονηρὸν ὄντα ἀπολέσαι τὸν ἀγαθὸν μισθὸν περὶ ἑνὸσ ἀγαθοῦ μετὰ πλειόνων κακῶν πεπραγμένου, οὔτε πάλιν ἀγαθὸν ὄντα ἀπολέσαι τὴν κόλασιν καὶ μὴ λαβεῖν αὐτὴν εἰ μετὰ πλειόνων ἀγαθῶν ἕν τι γένηται πονηρόν. ἀνάγκη γὰρ ζυγῷ καὶ σταθμῷ πάντα ἀποδιδόναι τὸν θεόν.

Cf. Mang. II. pag. 649. (Ex Ioh. Dam. sacr. parall. p. 349.) Pro ἔστιν παρὰ θεοῦ ibi legitur ἔστι παρὰ θεῷ. Item pro εἰ (cod. Cah. ἢ) μετὰ πλει. ἀγαθ. ἕν τι (cod. Cah. ἐάν τι) γένηται πονηρόν habet εἰ μετὰ πλει. ἀγαθ. ἔν τινι γένηται πονηρεύων.

9. (Anecd. 35.) Κακίασ ἔξοδοσ ἀρετῆσ εἴσοδον ἐργάζεται, ὡσ καὶ τοὐναντίον ὑπεκστάντοσ ἀγαθοῦ τὸ ἐφεδρεῦον κακὸν εἰσέρχεται.

10. (Anecd. 41.) Χαίρειν ἐπὶ ταῖσ ἑτέρων ἀτυχίαισ, εἰ καὶ δίκαιόν ποτε, ἀλλ' οὐκ ἀνθρώπινον.

Quae sententiae, quarum locum apud Philonem ignoro, etiam apud Maxim. Conf. et in florilegio Lipsiensi leguntur. Quam num. 9. signavimus apud Maximum I, 530 et in florileg. apud Westerm. I, 26 legitur. Altera apud Maximum XVIII.

pag. 588. habetur, in cod. Lipsiensi tit. XVIII. (Westerm. nondum edidit), item apud Iohann. ineditum fol. 213 rect.

11. (Anecd. 34.) Ἐγκρατείασ μὲν ἴδιον ὑγίεια καὶ ἰσχύσ· ἀκρασίασ δὲ ἀσθένεια καὶ νόσοσ γειτνιῶσα θανάτῳ.

Cf. Mang. II. p. 548. (De virtutibus.) Ibi tamen scriptum est: τὰ δὲ ἐπίχειρα ἐγκρατείασ μὲν ὑγίεια etc.

Denique dicta alia quinque ex codice Cahirino adscribamus, quorum haud scio an nonnihil in editis Philonis operibus etiamnunc desideretur.

12. (Anecd. 32.) Ἄτοπον γὰρ ἁμαρτήμασιν ἐνόχουσ εἶναι τοὺσ τοῖσ ἄλλοισ τὰ δίκαια βραβεύειν ἀξιοῦντασ. καὶ τὸ μὲν δωροδοκεῖν ἐπ᾽ ἀδίκοισ παμπονήρων ἐστὶν ἀνθρώπων ἔργον, τὸ δ᾽ ἐπὶ δικαίοισ ἐφ᾽ ἡμισείᾳ πονηρευομένων.

13. (Anecd. 33.) Δοκεῖ γάρ μοι μηδὲν οὕτωσ ὁ θεὸσ ἐμφανὲσ ἀπεργάσασθαι μίμημα ὡσ ὄψιν λογισμοῦ.

14. (Anecd. 37.) Ὁ μὲν θεὸσ οὐδενὸσ δεῖται, ὁ βασιλεὺσ δὲ μόνου θεοῦ. μιμοῦ τοίνυν τὸν οὐδενὸσ δεόμενον καὶ δαψιλεύου τοῖσ αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενοσ περὶ τοὺσ σοὺσ ἱκέτασ, ἀλλὰ πᾶσι παρέχων τὰσ πρὸσ τὸ ζῆν αἰτήσεισ. πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺσ ἀξίουσ ἐλεεῖν καὶ τοὺσ ἀναξίουσ, καὶ μὴ τοὺσ ἀξίουσ ἀποστερεῖν διὰ τοὺσ ἀναξίουσ.

15. (Anecd. 39.) Πέφυκεν ὁ ἄφρων ἀεὶ ἐπὶ τὸν ὄρθον λόγον κινούμενοσ ἠρεμίᾳ καὶ ἀναπαύσει δυσμενὴσ εἶναι.

16. (Anecd. 40.) Πλέον ἀγάπα βασιλεῦ τοὺσ λαμβάνειν παρὰ σοῦ χάριτασ ἱκετεύοντασ ἤπερ τοὺσ σπουδάζοντασ δωρεάσ σοι προσφέρειν. τοῖσ μὲν γὰρ ὀφειλέτησ ἀμοιβῆσ· καθίστασαι, οἱ δὲ σοὶ τὸν ὀφειλέτην ποιήσουσιν τὸν οἰκειούμενον τὰ εἰσ αὐτοὺσ γινόμενα καὶ ἀμειβόμενον* ἀγαθαῖσ ἀντιδόσεσιν τὸν φιλάνθρωπόν σου σκοπόν.

---

* Codex ἀμειβόμενα praebet.

LIPSIAE
TYPIS EXSCRIPSERUNT GIESECKE ET DEVRIENT


UNIVERSITY OF CHICAGO
48 455 329